οἱ τὰ μάλιστα ποθοῦντες ἄριστα ἂν ἔζων· ἀλλὰ μὴν ὁρῶμεν αὐ- 5
τοὺς πολλάκις διαπταίοντας. ἕβδομος ἐκ τῶν ἡρμένων πρὸς τὸ
ὑποκείμενον· οἷον δεῖ τὸν μείζονα ὑπερέχειν κατ' ἀρετήν, εἰ δὲ
μή, γελοῖον ἂν εἴη, εἰ ὁ χείρων ἀνακρίνοι τὸν βελτίω. ὄγδοος
ἐκ τοῦ ἀναλόγου· οἷον ὥσπερ τις τοὺς μισθοφόρους ποιεῖται
πολίτας δι' ἐπιείκειαν, οὕτω καὶ φυγάδας ποιεῖταί τις | ἐν τοῖς 405 W
μισθοφόροις τὸ ἀνῆκον διαταττόμενος. ἔνατος ἐκ τοῦ παρα- 11
δείγματος· ἄτοπον γὰρ εἰ κυβερνήτας μέν τις μὴ κλήρῳ προ-
βάλλεται, στρατηγοὺς δὲ κλήρῳ προβάλλεται. δέκατος ὁ ἐξ ἐπ-
αγωγῆς· οἷον Ἀλυάττου καὶ Κανδαύλου, ἔτι δὲ Γύγου καὶ Ἀλυάττου
πολεμίων ἡμῖν φωραθέντων ἀεί, τίς ἂν πιστεύσειεν εὔνουν ἡμῖν 15
καθεστάναι Κροῖσον. ἑνδέκατος ὁ ἐκ τῆς διαιρέσεως· οἷον εἰ τῶν
φαύλων τὴν ἀλογίαν ἡγητέον, πῶς οὐκ ἐπαινετέα τῶν λογικῶν
ἡ κατάστασις. δωδέκατος ὁ ἐκ τῆς κρίσεως· ὁρῶντες γὰρ Φίλιππον
καὶ τὰ τοῦ Φιλίππου κατὰ τῶν Ἀθηναίων μηχανήματα δυσμενῆ
καὶ κακόνουν πάντως αὐτὸν τῇ πόλει λογισόμεθα. τρισκαιδέκατος 20
ὁ ἐκ τῶν καιρῶν· οἷον εἰ τοῖς μέλλουσιν ἄκαιρος ἡ νίκη καὶ
τοῖς ἤδη νενικηκόσι. τεσσαρεσκαιδέκατος ἐκ μεταλήψεως· οἷον
οὐ τὸ πεισθῆναι δεινὸν ἦν τῷ Ἀντιπάτρῳ, ἀλλ' ὅτι προσ-
δεχόμεθα δουλείαν. πεντεκαιδέκατος ἐκ τῶν ἑπομένων καὶ ἀπο-
βαινόντων· καὶ ὅ ἐστι διὰ τῶν πρεπόντων· οἷον οὐ δεῖ παιδείαν 25
ἀσκεῖν, ἕπεται γὰρ φθόνος. ἑκκαιδέκατος ἐξ ὁρισμοῦ· οἷον κύριος
φρόνιμος τῶν πάνυ ἀγαθῶν, καὶ ὁ ἀνδρεῖος πάνυ τῶν ἀναγκαίων.
ἑπτακαιδέκατος ἐξ ὑποθέσεως· οἷον εἰ Φιλίππῳ πιστεύοντες τῆς
τριηραρχίας ἀμελήσετε, οὐδὲν κωλύει καὶ τῶν φιλτάτων ἀ|θρόως 406 W
στερηθῆναι. ὀκτωκαιδέκατος ἐκ τῶν ἁμαρτανομένων καὶ κατηγο- 30

---

8 *ἀνακρίνοι τὸν* corr. Walz, *ἀνακρίνει* P 2918 Aldus, *ἀνακρίνοιτο* Venetus. 12. 13 *προβάλλεται* om. P 2918, *προβάλλεται κλήρῳ* Venetus. 21 *ἄκυρος* P 2918, 2977 M Aldus, *ἄκαιρος* Ven. 26 *οἷον* — 27 *ἀναγκαίων* Ven., *οἷον ὅτι εἰ σωφροσύνη* (*σωφρόνου* M) *πάντων ἀγαθὸν ὁ καὶ ἀνδρεῖος πάντως ἀναγκαῖον* P 2918, 2977 M Aldus. 29 *τριηραρχίας* P 2977 Ven., *πατριαρχίας* P 2918 Aldus, *τῆς πατρ.* M.

ροῦντι καὶ ἀπολογουμένῳ· οἷον εἰ κατηγοροῦσι Μηδείας ὡς ἀπέκτεινεν, ἥμαρτε γὰρ περὶ τὴν ἀποστολήν· ἀπολογεῖται δέ, ὅτι οὐ καὶ τὸν Ἰάσονα, τοῦτο γὰρ ἡμάρτανε μὴ ποιήσασα. ἐννεακαιδέκατος ἐκ τοῦ οὗ ἕνεκα εἴη ἂν ἢ γένοιτο· οἷον τούτου χάριν
5 φάναι γεγονέναι· ὅτι ὁ Διομήδης προείλετο τὸν Ὀδυσσέα καὶ τὸν ἐκ τοῦ Ὀδυσσέως. εἰκοστὸς ἐκ τοῦ ὀνόματος· οἷον ὅτι οὐκ ἄν ποτε Ἱππονίκην ἔθετο ὁ τοῦ Ἑρμοῦ ὢν ἱερεὺς Ἑρμογένης μὴ ὄντος υἱοῦ· καὶ ὡς Ἰφικράτης· ὁ γὰρ πατὴρ πρὸς μὲν ἀνδρῶν ἦν εὐπατριδῶν, ὧν τὴν εὐγένειαν ἐξ αὐτῆς τῆς ἐπωνυμίας ῥᾴ-
10 διόν ἐστι γνῶναι. εἰκοστὸς πρῶτος ὁ τοῖς διαβεβλημένοις καὶ ἀνθρώποις καὶ πράγμασι τὴν αἰτίαν τοῦ παραδόξως λέγειν παρέχων· οἷον, ἄτοπον γὰρ εἰ φεύγοντες μὲν ἐμαχόμεθα, ὅπως κατέλθωμεν, κατελθόντες δὲ φευξόμεθα, ὅπως μὴ μαχώμεθα. ἔτι τῶν ἐνθυμημάτων τὰ μέν ἐστιν ἐλεγκτικά, τὰ δὲ δεικτικά.

hanc doctam sed corruptam periphrasin artis Aristot. rhet. II 23 Caecilio attribuit Angermann l. s. p. 58 s (44), quocum concinit Wendland l. s. p. 312.

15 *26 Anon. segv. 170 p. 32, 7 Gr.: *τῶν δὲ τόπων ἔνιοι μέν, ὡς ὁ Νεοκλῆς φησι, κοινούς τινας κατὰ πασῶν τῶν στάσεων εὑρήκασιν, οἱ δὲ ἰδίους ἑκάστης στάσεως· Ἀριστοτέλης* (rhet. II 23) *δὲ καὶ κοινοὺς καὶ ἰδίους τοὺς μὲν πλείστους εὕρηκε, περὶ δὲ τῶν ἰδίων διαλέγεται συμφωνῶν καὶ*
20 *αὐτὸς Εὐδήμῳ τῷ ἀκαδημαϊκῷ.* (171) *εἰσὶ δὲ οὗτοι οἱ τόποι οἵδε· ὅρος, διαίρεσις, παράθεσις, συστοιχία, περιοχή, ὅμοιον, παρεπόμενον, μάχη, δύναμις, κρίσις. οὗτοι μὲν οὖν, φησίν, οἱ γενικώτατοι τόποι. ἀρκτέον δὲ ἤδη περὶ ἑκάστου λέγειν·* (172) *ὁ ὅρος τριχῇ τέμνε-*
25 *ται, εἴς τε ὁλόκληρον τὸν ὅρον ⟨καὶ⟩ εἰς τὰ ἐν τῷ ὅρῳ καὶ τὰ παρακείμενα τῷ ὅρῳ. τὰ μὲν οὖν ἐν αὐτῷ τῷ ὅρῳ ταῦτά εἰσι· γένος, ⟨εἶδος,⟩ ἴδιον, διαφορά. τὰ δὲ*

---

9. 10 *ῥᾴδιόν* om. P 2977, *ῥᾴδιον ἐπιγνῶναι* Ven. 16. 17 *κοινῶς τινα . . . εἰρήκασιν οἱ δὲ ἰδίως* P, corr. Spengel. 19 *εὕρηκε* Volkmann, *εὔαδεν* P, *εὗρεν* Spengel. 20 *οὗτοι οἱ* P, *οἱ κοινοί* Graeven. 25 *καὶ* add. V. de Wilamowitz. 27 *εἰσι* P, *ἐστι* Graeven. *εἶδος* add. Volkmann.

παρακείμενα αὐτῷ· ἐτυμολογία, παρώνυμον, ἐπίθετον, ὑποκοριστικόν· καὶ ἐκ τούτων γὰρ ἐπιχειρήματα λαμβάνεται. (173) ἡ δὲ διαίρεσις τριχῆ καὶ αὐτὴ τέμνεται, εἴς τε τὴν καταρίθμησιν καὶ εἰς τὸν μερισ|μὸν καὶ εἰς 33 Gr. τὴν εἰδικὴν διαίρεσιν. ἔστι δὲ καταρίθμησις μέν, 5 ὅταν ὄνομα μόνον ⟨κοινὸν⟩ ὑπάρχῃ, πρᾶγμα δὲ διάφορον. μερισμὸς δέ, ὅταν κοινὸν ᾖ καὶ ὄνομα καὶ πρᾶγμα, μόνον δὲ τὴν λέξιν διάφορον ἔχῃ. περὶ δὲ τῆς εἰδικῆς διαιρέσεως ὡς σαφοῦς παραλείπομεν. (174) ἡ δὲ παράθεσις καὶ αὐτὴ τριχῆ λαμβάνεται· ἢ 10 κατὰ τὸ μᾶλλον, ἢ κατὰ τὸ ἧττον, ἢ κατὰ τὸ ἴσον. (175) ἡ δὲ συστοιχία πραγμάτων κοινωνίαν καὶ ὀνομάτων δηλοῖ· συστοιχεῖν γὰρ ἀλλήλοις λέγομεν ὡς τὴν φρόνησιν καὶ τὸν φρόνιμον. (176) ἡ δὲ περιοχὴ διπλῆ· ἃ μὲν γὰρ ὡς μέρη [γίνεται] περιέχεται, ἃ δὲ ὡς κατὰ 15 δύναμιν. (177) ὁ δὲ ἐκ τῶν ὁμοίων τόπος καὶ αὐτὸς διπλοῦς· τὸ μὲν γὰρ κατὰ τὴν ποιότητα ὅμοιόν ἐστι, τὸ δὲ κατὰ τὴν ἀναλογίαν, ὅπερ εἰς τὰς ἀποδείξεις μᾶλλον ἁρμόττει. (178) τὸ δὲ παρεπόμενον ἔχει τρόπους τρεῖς, τὰ πρὸ τοῦ πράγματος, τὰ ἐν τῷ πράγματι, τὰ μετὰ 20 τὸ πρᾶγμα. (179) τὴν δὲ μάχην ἐν τοῖς περὶ εὑρέσεως | σχολικοῖς, ἐν οἷς περὶ ἐπιχειρημάτων ἐλέγομεν, ἐδιδάξαμεν. ῥητέον δὲ καὶ νῦν τὰ παρακείμενα αὐτῇ. 34 Gr. παράκειται τοίνυν τῇ μάχῃ καὶ τὰ ἐναντία καὶ τὰ ἀντικείμενα. τί δὲ τούτων ἑκάτερον διαφέρει, ῥητέον· 25 ἀντικείμενα μὲν οὖν ἐστιν, ὧν τὸ ἕτερον τοῦ λόγου ἀποφατικόν ἐστιν. ἐναντία δὲ ὅσα περὶ τὸν αὐτὸν τόπον στρεφόμενα πλεῖστον ἀλλήλων ἀπέχει· τῶν δὲ ἐναντίων τὰ μέν ἐστι στερητικά, τὰ δὲ οὐ στερητικά. στερητικὰ μέν, οἷον τέχνη ἀτεχνία, οὐ στερητικὰ δέ, 30 οἷον ἀγαθὸν κακόν. (180) ἡ δὲ δύναμις ὀκτὼ διαφορὰς ἔχει ἀκολούθως τῇ τοῦ συμφέροντος διαιρέσει· λαμ-

---

5 εἰδικὴν corr. Seguier, ἰδικὴν P, idem u. 9. 6 κοινὸν add. Finckh. 7 κοινωνῇ P, corr. Finckh. 8 λέξιν P, ἕξιν Graeven. 15 γίνεται secl. idem. 23 νῦν καὶ P, corr. Spengel. 26 λόγου P, ἑτέρου Graeven. 27. 28 τῶν αὐτῶν τόπων P, corr. Spengel.

βάνεται γὰρ τὸ συμφέρον ἐκ τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ, καὶ καθ' ἑκάτερον τετραχῶς· ἐκ μὲν τοῦ ἀγαθοῦ κτῆσις, αὔξησις, τήρησις, ὄνησις, ἐκ δὲ τοῦ κακοῦ ἔκ-
35 Gr. *κλισις,* | *μείωσις, ἀπόκλισις, ὑπόστασις.* (181) *κρίσις δὲ*
5 *ληφθήσεται ἀπὸ θεῶν, ἀπὸ ἡρώων, ἀπὸ συγγραφέων, ἀπὸ φιλοσόφων, ἀπὸ ποιητῶν.*

haec series locorum communium etiam apud Quintilianum (V 10, 20—99) cum aliis mixta inuenitur; nonnulla GRAEVEN in adnotatione et ANGERMANN p. 43 s (57) contulerunt: An. Seg. 172 ∼ Quint. 55; A. S. 173 ∼ Qu. 65; A. S. 174 ∼ Qu. 86; A. S. 178 ∼ Qu. 75 (= fr. 35); A. S. 180 ∼ Qu. 33. Caecilium fontem esse ANGERMANNO praeeunte dubitanter puto. haec uerba R. VOLKMANN (*die rhetorik der Griechen und Roemer*[2] 1885 p. 206 s) copiose tractauit.

*27 ALEXANDER APVD MAXIMVM PLANVDEM Rh. Gr. V p. 407, 10 W.: τῶν γὰρ ἀκολουθούντων τισίν, ἃ μὲν ἐν τῷ καθόλου καὶ ἀεὶ ἀκολουθεῖ· οἷον εἰ καπνός ἐστιν ἐνταῦθα, πῦρ ἐστιν ἐνταῦθα·
10 τὰ δὲ ὡς ἐπίπαν μὲν οὐκ ἀκολουθεῖ, ἐπὶ πλέον δέ, οἷον εἰ νότος ἐστὶν εὐπλοήσει· ἃ δὲ ἐπ' ἔλαττον, οἷον εἰ τυμβωρύχος ἐστί, θησαυρῷ περιπεσεῖται· τοῖς μὲν οὖν καθόλου ἀεὶ ἀκολουθοῦσιν ἀεὶ χρηστέον· ἔστι γὰρ ἀναμφισβήτητον· ταῦτα δὲ καὶ τεκμήρια 'Αρι-
408 W. στοτέλης (rhet. I 2 p. 1357[b] 3 ss) καλεῖ· τοῖς δὲ ὡς | ἐπὶ τὸ πλεῖ-
15 στον καὶ ἐπ' ἔλαττον ἀκολουθοῦσιν οὔ· χρηστέον δὲ ὅμως εἰ ἐκείνων ἀποροῖμεν· ταῦτα δὲ 'Αριστοτέλης σημεῖα καλεῖ· καὶ γάρ τοι τεκμήριον, φησί (ibid. p. 1357[b] 7 ss), τὸ τέλος προσαγορεύεται· τούτου δὲ κομισθέντος τέλος ἔχειν τὸ πρᾶγμα συμβαίνει.

hunc locum ANGERMANN l. c. p. 53 s Caecilio adscripsit.

*28 QVINTIL. V 8, 7: . . *omnium probationum quadruplex*
20 *ratio est, ut uel quia est aliquid, aliud non sit, ut: 'dies est,*

---

3 *κτῆσις* em. Spengel, *κτίσις* P. *τήρησις* corr. Graeven, *κρίσις* P. 4 *μείωσις ἀπόκλισις* P, *ἀπόλυσις μείωσις* scr. Graeven. 10 *τὰ δὲ ὡς ἐπ.*] ἃ P 2918, ἃ *γὰρ ἐπίπαν* P 2977. 11 *ἔλαττον ἀκολουθεῖ* P 2918. 17 *προσηγόρευται* P 2918.

nox non est', uel quia est aliquid, et aliud sit: 'sol est super terram, dies est', uel quia aliquid non est, aliud sit: 'non est nox, dies est', uel quia aliquid non est, nec aliud sit: 'non est rationalis, nec homo est'.

simillima Alexander Numenii filius scribit, uide fr. 28 *a*. in utroque loco ANGERMANN l. c. p. 41 uestigia Caecilii deprehendit.

***28 a** ALEXANDER APVD MAXIMVM PLANVDEM V p. 409, 12 W.: 5
ἢ γὰρ θέντες, ὅτι μάχεται τόδε τῷδε, ἔπειτα εἰπόντες, ὅτι ὑπάρχει τὸ ἕτερον, τὸ λοιπὸν ἀναιροῦμεν· οἷον ὅτι ἡμέρα ἐστί, νύξ ἐστιν· ἀλλὰ μὴν ἡμέρα ἐστί, νύξ ἄρα οὐκ ἔστιν· ἢ θέντες, ὅτι μάχεται τῷδε τόδε, ἔπειτα ἀνελόντες τὸ ἕτερον, τὸ λοιπὸν τίθεμεν, οἷον εἰ οὐχ ἡμέρα ἐστί, νύξ ἐστιν· ἀλλὰ μὴν οὐκ ἔστιν ἡμέρα, 10
νύξ ἄρα ἐστίν.

***29** QVINTIL. V 9, 3: *diuiduntur autem (signa) in has duas primas species, quod eorum alia sunt . ., quae necessaria ⟨sunt, alia quae non necessaria⟩. priora illa sunt quae aliter habere se non possunt, quae Graeci* τεκμήρια *uocant, quae sunt* ἄλυτα 15
σημεῖα, ... (8) *alia sunt signa non necessaria, quae* εἰκότα *Graeci uocant.*

Quintilianus hic cum Aristotele (rhet. I 2 p. 1357ᵇ 16 s, 1357ᵃ 28 ss) congruit. fortasse Caecilio locus adsignandus est, quae est ANGERMANNI (l. c. p. 41) sententia.

***30** ALEXANDER APVD MAXIMVM PLANVDEM V p. 408, 22 W.:
οἷον Πλάτων ἐν Ἀθήναις ἐστί, Πλάτων ἐν Σικελίᾳ ἐστί· ταῦτα μὲν 19
γὰρ | ἀλλήλοις μάχεται· τὰ δὲ ἀντικείμενα αὐτοῖς οὐκ ἔτι· οἷον 409 W.
Πλάτων οὐκ ἔστιν ἐν Σικελίᾳ· Πλάτων οὐκ ἔστιν ἐν Ἀθήναις· οὐδεμία γὰρ ἐνταῦθα μάχη.

ex hoc exemplo deriuatum at commutatum esse id, quod

---

10 *εἰ* om. P 2918. *οὐχ* om. P 2977. 13 sunt — 14 necessaria *add. Regius.*

Quintilianus ad eandem rem illustrandam adhibet (V 9, 5: *nec fieri potest, .. ut quis Romae sit, cum est Athenis ...* (7) .. *potest .. nec fuisse Romae, qui non fuit Athenis*, etc.), ANGERMANN l. c. p. 41 putat. auctor communis Caecilius esse ANGERMANNO uidetur.

31 (= 50 B.) QVINTIL. V 10, 7: ἀπόδειξις *est euidens probatio ideoque apud geometras* γραμμικαὶ ἀποδείξεις *dicuntur. hanc et ab epichiremate Caecilius putat differre solo genere conclusionis et esse apodixin* 5 *imperfectum epichirema eadem causa, qua diximus enthymema a syllogismo distare.*

hoc fragmentum BRZOSKA l. c. p. 1177 copiosius tractauit.

***32** QVINTIL. V 10, 17: *ideoque Aristoteles in secundo de arte rhetorica libro* (II 1—17) *diligentissime est exsecutus, quid cuique rei et quid cuique homini soleret accidere, et quas res quosque* 10 *homines quibus rebus aut hominibus uel conciliasset uel alienasset ipsa natura, ut, diuitias quid sequatur aut ambitum aut superstitionem, quid boni probent, quid mali petant, quid milites, quid rustici, quo quaeque modo res uitari uel appeti soleat.*

hic locus ab ANGERMANNO (l. c. p. 42 s) Caecilio uindicatus est.

***33** QVINTIL. V 10, 30: *ponunt in persona et nomen: quod* 15 *quidem accidere ei necesse est, sed in argumentum raro cadit, nisi cum aut ex causa datum est, ut Sapiens, Magnus, Pius, ..* (31) *nam et illud apud Euripidem frigidum sane, quod nomen Polynicis ut argumentum morum frater incessit* (Phoeniss. 636. 637).

hoc loco uestigia adhibitae artis Aristot. rhet. (II 23

---

9 soleret *Spalding*, solet A[1]BnBg[1]. 11 quid A[2], qui *uel* quis *cet. libri*. 16 Pius *Zumpt*, plenus *libri*.

p. 1400b 16 ss, p. 1400b 22 s) ANGERMANN l. c. p. 44 deprehendit. Caecilio Quintilianum niti idem uir doctus (ibid.) arbitratur.

***34** QVINTIL. V 10, 73: *est argumentorum locus . . . ex contrariis: 'frugalitas bonum, luxuria enim malum: si malorum causa bellum est, erit emendatio pax: si ueniam meretur qui imprudens nocuit, non meretur praemium qui imprudens profuit'.* 5

haec exempla ex Aristot. rhet. II 23 p. 1397a 10 ss petita sunt. ANGERMANN l. c. p. 44 Caecilium interuenisse statuit.

***35** QVINTIL. V 10, 75: sed haec consequentia dico, *ἀκόλουθα*, est enim consequens sapientiae bonitas, illa insequentia, *παρεπόμενα*, quae postea facta sunt aut futura.

priorem partem huius fragmenti ex Aristotele (rhet. II 23 p. 1399a 11 ss) fluxisse ANGERMANN l. c. p. 44 ostendit. totum locum ANGERMANN (ibid. et p. 43) ad Caecilium reuocauit.

***36** QVINTIL. V 10, 78: *illa quoque, quae ex rebus mutuam* 10 *confirmationem praestantibus ducuntur: quae proprii generis uideri quidam* (Aristot. rhet. II 23 p. 1397a 23) *uolunt et uocant* ἐκ τῶν πρὸς ἄλληλα, etc.

hoc per Caecilium ad Quintilianum peruenisse ANGERMANN l. c. p. 44 iudicat.

***37** QVINTIL. V 10, 85: illud his adicere ridiculum putarem, nisi eo Cicero (top. 3, 12) uteretur, quod coniugatum uocant, 15 ut 'eos, qui rem iustam faciunt, iuste facere'.

hoc exemplum Aristoteli rhet. II 23 p. 1397a 21 debetur. Caecilium illud suppeditare ANGERMANN l. c. p. 45 putat.

---

8 *παρεπόμενα Victorius*, paregomena A[1]BnBg[1].

***38** Qvintil. V 11, 8: .. *ut si quis dicens, Dionysium idcirco petere custodes salutis suae, ut eorum adiutus armis tyrannidem occupet, hoc referat exemplum, eadem ratione Pisistratum ad dominationem peruenisse.*

hoc exemplum originis Aristoteleae (rhet. I 2 p. 1357ᵇ 30 ss) est. idem apud Anonymum Seguerianum exstat, uide fr. 39, 9—11. communi fonte, scilicet Caecilio, utrumque scriptorem usum esse Angermann l. c. p. 45 (54) opinatur.

5 ***39** Anon. segv. 155 p. 30, 1 Gr.: παράδειγμά ἐστι λόγος ἀπὸ τῶν κατὰ μέρος ἤτοι ἐπὶ τὸ κατὰ μέρος ἐπάγων ἢ ἐπὶ τὸ καθόλου, ἢ ἀπὸ τοῦ ὁμοίου ἐπὶ τὸ ὅμοιον, ὡς ἔχει τὰ προειρημένα.

idem 154 p. 29, 18 Gr.: .. οἷον τοῦ τινὰ δορυφόρους λαμ-
10 βάνοντα τυραννήσειν παράδειγμά ἐστι Πεισίστρατος καὶ Φάλαρις καὶ Διονύσιος.

u. 9—11 iam supra tetigi, uide fr. 38. etiam u. 5—7 ex Aristotele (rhet. I 2 p. 1357ᵇ 26 ss) hausti sunt; quare eos quoque Angermann l. c. p. 54 Caecilio uindicauit.

***40** Qvintil. V 12, 9: his quidam probationes adiciunt, quas *παθητικάς* uocant, ductas ex adfectibus, atque A r i s t o t e l e s (rhet. I 2 p. 1356ᵃ 13) q u i d e m p o t e n t i s s i m u m p u t a t e x
15 e o, q u i d i c i t, s i s i t u i r b o n u s: q u o d u t o p t i m u m e s t, i t a l o n g e q u i d e m, s e d s e q u i t u r t a m e n 'u i d e r i'. (10) .. cui simile quiddam fecisse I p h i c r a t e s dicitur, q u i c u m A r i s t o p h o n t e m, q u o a c c u s a n t e s i m i l i s c r i m i n i s r e u s e r a t, i n t e r r o g a s s e t, a n i s a c c e p t a p e c u n i a r e m
20 p u b l i c a m p r o d i t u r u s e s s e t, i s q u e i d n e g a s s e t: q u o d i g i t u r, i n q u i t, t u n o n f e c i s s e s, e g o f e c i?

etiam posteriore parte huius loci Quintilianus Aristotelem (rhet. II 23 p. 1398ᵃ 4 ss) in usum uocat. totus locus ab Angermanno l. c. p. 45 Caecilio attributus est.

---

9 *τινὰς* P, corr. Seguier.

41 Qvintil. V 14, 4: *quale est Demosthenis* (XXII 7): '*non enim, si quid umquam contra leges actum est idque tu es imitatus, idcirco te conuenit poena liberari, quin e contrario damnari multo magis. nam ut, si quis eorum damnatus esset, tu haec non scripsisses, ita, damnatus tu si fueris, non scribet alius*'. 5

hoc exemplum etiam apud Anonymum Seguerianum occurrit, uide fr. 41*a*. Quintilianum et Anonymum Caecilium secutos esse una cum Angermanno (l. c. p. 36, 3) putauerim.

41a Anon. segv. 187 p. 36, 22 Gr.: ὥσπερ καὶ Δημοσθένης (XXII 7) | 'σὺ δ' ἡμῖν μὴ λέγε ὡς γέγονε τοῦτο πολλάκις· οὐ 37 Gr. γὰρ εἴ τι πώποτε μὴ κατὰ τοὺς νόμους ἐπράχθη' καὶ ἑξῆς.

***42** Qvintil. V 14, 10: *una (forma epichirematos), in qua idem concluditur, quod intenditur: 'anima immortalis est: nam quidquid ex se ipso mouetur, immortale est, anima autem ex se ipsa mouetur, immortalis igitur est anima'.* 10

idem exemplum Neocles adhibet, uide fr. 42*a*. communem fontem Caecilium esse Angermann l. c. p. 41 s censet.

***42a** Anonymvs VII 2 p. 764, 1 W.: *ὁ δὲ συλλογισμός, ὥς φησι Νεοκλῆς, διссῶς ἐκφέρεται· ἢ γὰρ τὸ ζητούμενον τίθεται, ἔπειτα τὰ λήμματα καὶ τὸ ἐπισυνδέον ἐπιφέρεται, οἷον ψυχὴ πᾶσα ἀθάνατος, τὸ γὰρ ἀεικίνητον ἀθάνατον, ἢ πρὸ τοῦ ζητουμένου τῶν λημμάτων τιθεμένων· ἐπιφέρεται τότε τὸ ζητούμενον, οἷον ἡ ψυχὴ αὐτοκίνητος, τὸ αὐτοκίνητον ἀεικίνητον· τοῦτο δὲ ἀθάνατον· ἡ ψυχὴ ἄρα ἀθάνατος.* 15 20

***43** Anonymvs VII 2 p. 765, 11 W.: *γνώμη δέ ἐστιν, ὥς φησιν Ἀλέξανδρος, καθολικὴ ἀπόφασις περὶ τῶν πραγμάτων οὕτως ἐχόντων καὶ οὕτως ἔχειν ὀφειλόντων.*

---

3 quin *Regius*, quod A[1]BnBg[1]. 15 *τὸ εἰ συνδέον* Monacensis. 23 *καὶ*] *ἢ* Ven.

τῶν δὲ γνωμῶν ἔνιαι μὲν χωρὶς ἀποδείξεως λέγονται, οἷον (M 243) *'εἷς οἰωνὸς ἄριστος', αἱ δὲ μετὰ ἀποδείξεως.*

definitionem sententiae (p. 25, 21—23) eandem esse atque Aristoteleam (rhet. II 21 p. 1394ᵃ 21 ss) et in sequentibus (p. 26, 1—3) quoque uestigia Aristotelis (ibid. p. 1394ᵇ 8 ss et 1395ᵃ 13 s) detegi posse Angermann l. c. p. 54 s probauit. idem uir doctus (ibid.) Caecilium interuenisse adnotauit.

44 Qvintil. VI 1, 7: *id unum epilogi genus* (ἀνακεφαλαίωσις)
5 *uisum est plerisque Atticorum et philosophis fere omnibus, qui de arte oratoria scriptum aliquid reliquerunt.*

multo fusius haec exsecutus est Anonymus Seguerianus, uide fr. 44 *a*. postquam Graeven (l. c. adn. ad fr. 44 *a*) dubitauit, ,an Quint. ad Platonis et Chrysippi placita spectauerit', Angermann l. c. p. 48 Caecilium fontem Quintiliani etiam hic esse contendit; Anonymi quoque Segueriani auctorem Calactinum esse.

44a Anon. segv. 207 p. 41, 10 Gr.: ἔργον δὲ ἐπιλόγου Πλάτων μὲν ἐν Φαίδρῳ φησίν (p. 267 d) 'ἐν κεφαλαίῳ καταλέγοντα ὑπομνῆσαι ἐπιτελευτικοὺς τοὺς ἀκούοντας τῶν εἰρημένων'. ἔχε-
10 ται δὲ τῆς αὐτῆς δόξης καὶ Χρύσιππος (Stoic. fr. II 296 Arnim)· καὶ γὰρ αὐτὸς μονομερῆ φησι τὸν ἐπίλογον. (208) Ἀριστοτέλης δὲ ἐν ταῖς Θεοδεκτικαῖς τέχναις φησίν (fr. 134 Rose), ὅτι 'ὁ ἐπίλογος τὸ μὲν κεφάλαιον ἔχει προτρέψασθαι τοὺς ἀκούοντας, προτρέψομεν δὲ [τριχῶς] εἰς τὰ πάθη ἀνάγοντες τὰ ἑκάστου προ-
15 τρεπτικά. ἓν μὲν οὖν ἔργον ἐπιλόγου τὸ τὰ πάθη διεγεῖραι, δεύτερον τὸ ἐπαινεῖν ἢ ψέγειν· τούτων γὰρ ἐν ἐπιλόγοις ἡ χώρα· τρίτον δὲ τὸ ἀναμιμνῄσκειν τὰ εἰρημένα'.

***45** Anon. segv. 230 p. 45, 13 Gr.: αὔξησίς ἐστι λόγος μεῖζον ποιῶν φαίνεσθαι τὸ πρᾶγμα.

---

1 *ἔνιαι* — 2 *ἀποδείξεως* om. M Par. 11 *μνημονομερῆ* Seguier. 14 *τριχῶς* secl. Graeven. 15. 16 *δεύτερον* ⟨*δὲ*⟩ Graeven.

inter hanc definitionem et eam, quam Pseudolonginus (uide fr. 90, 2 s) exhibet, summa similitudo intercedit, qua re commotus MARTENS l. c. p. 20 communem fontem statuit; hunc primarium auctorem Caecilium esse idem uir doctus (ibid.) suspicatus est.

***46** QVINTIL. VIII 3, 6: recteque Cicero . . scribit: nam eloquentiam, quae admirationem non habet, nullam iudico. eandem Aristoteles quoque petendam maxime putat.

hunc locum aut ad Aristot. rhet. III 2 p. 1404^{b} 11 s aut ad artem Theodecteam referendum esse ANGERMANN sentit. simile quid Pseudolonginus scribit, uide fr. 83, 14—16. per Caecilium doctrinam Aristoteleam in Quintiliani librum peruenisse ANGERMANNO (l. c. p. 49 s) dubitanter concesserim.

47 (cf. Aristot. fr. 131 Rose) QVINTIL. VIII 3, 37: *si quid periculosius finxisse uidebimur, quibusdam remediis praemuniendum est: 'ut ita dicam, si licet dicere, quodam modo, permittite mihi sic uti'. quod idem etiam in iis, quae licentius translata erunt, proderit, nihilque non tuto dici potest, in quo non falli iudicium nostrum sollicitudine ipsa manifestum erit. qua de re Graecum illud elegantissimum est, quo praecipitur* (cf. Aristot. rhet. III 7 p. 1408^{b} 1 ss) προεπιπλήccειν τῇ ὑπερβολῇ.

idem praeceptum Aristoteleum apud Pseudolonginum exstat, uide fr. 95 p. 84, 22—28. neque Quintilianus neque Pseudolonginus libros rhetoricos Stagiritae legerunt; itaque e Caecilio illud utrique deductum esse ANGERMANN l. c. p. 48 s ponit. iam antea COBLENTZ l. c. p. 64 eandem sententiam protulerat. ad hoc fr. cf. praeterea Demetrius de eloc. 80 et Philodemus I p. 180 Sudh. col. XXII.

48 EPITOME LONGINI 2 Rh. Gr. I 2 p. 213, 5 Sp. et H.: ὅτι ὁ Ἀριστοτέλης τοὺς πάντα μεταφέροντας αἰνίγματα

---

8 proderit T (*Turicensis s. XI uel XII*), proderunt A[1]G (*codicis Bambergensis eae partes, quae ex alio codice suppletae sunt*).

γράφειν ἔλεγεν· διὸ λέγουσι [Λογγῖνος] σπανίως κεχρῆσθαι καὶ τούτῳ τῷ εἴδει.

Longinum hic doctrinam ex arte Theodectea petitam (cf. etiam rhet. III 2 p. 1405ᵃ 35 ss) tradere Angermann l. s. p. 49 suspicatus est. idem uir doctus (ibid.) Caecilium intercessisse statuit.

49 Fragm. paraphr. in Aristot. rhet. Rh. Gr. I 2 p. 1 Sp. et H. = Comment. in Aristot. Gr. XXI 2 p. 330 Rabe: ΠΕΡΙ ΕΡΩΤΗ-
5 ΣΕΩΣ. Ἐρώτα δὲ αὐτὸν τετραχῶς· τοσοῦτοι γάρ εἰσι τῶν ἐρωτήσεων οἱ τρόποι· πολλάκις γὰρ αὗται κατὰ καιρὸν ⟨γινόμεναι καὶ⟩ μὴ γινόμεναι καὶ ὤνησαν καὶ ἔβλαψαν. εἰσὶ δὲ οἱ τρόποι οἵδε· τὸ εἰς ἄτοπον ἀπάγειν, τὸ τὰ ὁμολογούμενα ἐρωτᾶν, καὶ τὸ ἐρωτᾶν τότε, ὅταν μέλλῃς εἰς τοὐναντίον περιτρέπειν, καὶ τὸ ἀλη-
10 θέσι ψευδῆ συμπλέκοντα πυνθάνεσθαι.

Εἰς μὲν οὖν τὸ ἄτοπον ἐμβάλλεις τὸν ἀντίδικον ἐρωτήσας οὕτως, ὡς Περικλῆς Λάμπωνα ἤρετο 'τί ταῦτά ἐστιν' εἰπών 'τὰ δρώμενα ἐν τοῖς μυστηρίοις;' εἰπόντος δὲ τοῦ Λάμπωνος ὡς 'οὐχ οἷόν τε ταῦτα τοῖς ἀμυήτοις ἐξαγγέλλειν', ἀνήρετο ὁ Περι-
15 κλῆς, εἰ αὐτὸς οἶδεν· † οὐ συμφήσαντος δὲ τοῦ Λάμπωνος ἐν τοῖς 'οὐχ οἷόν τε ταυτὶ τοῖς ἀμυήτοις ἐξαγγέλλειν', 'καὶ πῶς' εἶπεν 'ἀτέλεστος ὤν;'

Ὁμολογούμενα δὲ ἐρωτήσεις, εἰ τὰ ἐξ ἀνάγκης δοθησόμενα ὑπὸ τῶν ἀντιδίκων πυνθάνοιο, καὶ ὧν ῥηθέντων ἐπὶ τὸ συμ-
20 πέρασμα εὐθὺς † οὐ χωρήσεις, τὰ ὁμολογούμενα εὐθὺς παραλιπών, ὡς Πλάτων ἐν τῇ Σωκράτους ἀπολογίᾳ (Apol. p. 27c)· λεγόντων γὰρ τῶν κατηγόρων, ὡς Σωκράτης θεοὺς οὐ νομίζει καὶ καινὰ
331 R. δαιμόνια εἰσάγει, ἀνήρετο αὐτοὺς περὶ τῶν δαιμονίων, | εἰ μὴ θεοὺς ἢ θεῶν παῖδας ἡγοῦνται αὐτούς· ὡς δὲ συνέφησαν, 'ἔστι

---

1 *Λογγῖνος* tamquam glossema delet E. Norden, *die antike kunstprosa* p. 360, 1. 5 *ἐρώτα* Seguier, *ἐρωτᾶι* P(arisinus s. XIII). 6 *γινόμεναι καὶ* add. Radermacher. 15 *οὐ* om. Aristot., del. Schneidewin. *ἐν* — 16 *ἐξαγγέλλειν* del. Schneidewin. 20 *οὐ* del. Schneidewin. *εὐθὺς* del. Schneidewin; ‚fort. iungenda sunt *ὁμολογούμενα εὐθύς*, ut infra (p. 29, 2) *τὸ αὐτόθεν ὁμολογούμενον*' Rabe.

δέ, ὅϲτιϲ θεοὺϲ οὐ νομίζει θεῶν παῖδαϲ νομίζων;' παρέλιπε γὰρ
τὸ αὐτόθεν ὁμολογούμενον, ὅτι ὁ δαιμόνια νομίζων θεοὺϲ νομίζει.

Εἰϲ τὸ ἐναντίον δὲ περιϲτήϲειϲ, ὡϲ Λυϲίαϲ ἐν τῷ Ἐρατοϲθένουϲ
(XII 25—26)· ἐπειδὴ γὰρ ὡμολόγει μὲν ἀπάγειν τὸν ἀδελφὸν
αὐτοῦ Πολέμαρχον διὰ τὸ προϲτάξαι τοὺϲ τριάκοντα, ὧν εἷϲ ἦν 5
καὶ αὐτόϲ, ἐρωτηθεὶϲ δέ, εἰ παρῆν καὶ αὐτὸϲ προτεθείϲηϲ περὶ
αὐτοῦ βουλῆϲ καὶ εἰ ἀντέλεγεν ἢ ἐπήνει τὰ δοκοῦντα τοῖϲ ἄλ-
λοιϲ, ὡϲ δὲ ἔφη καὶ παρεῖναι καὶ ἀντιλέγειν τοῖϲ ἄλλοιϲ, προϲ-
ηρώτηϲεν, εἰ ἄδικα πάϲχειν ἡγεῖτο αὐτόν, καὶ ϲυγχωρήϲαντοϲ
ἐπήγαγεν 'εἶτα, ὦ ϲχετλιώτατε πάντων, ἀντέλεγεϲ μέν, ἵνα ϲώ- 10
ϲειαϲ, ϲυνελάμβανεϲ δέ, ἵνα ἀποκτείνῃϲ;'

Τελευταῖοϲ δὲ τοῦ ἐρωτᾶν καιρόϲ, ὅταν μὴ ἐγχωρῇ λῦϲαι
τὴν ἐρώτηϲιν † ϲοφιϲτικῶϲ ἀποκρινόμενον· οἷον 'τὰ μὲν ἔϲτι, τὰ
δὲ οὔ' ἢ 'πῇ μὲν ἀληθὲϲ τὸ λεγόμενον, πῇ δὲ ψεῦδόϲ ἐϲτι'· πρὸϲ
γὰρ τοὺϲ οὕτωϲ ἀποκριναμένουϲ οἱ ἀκροώμενοι θορυβοῦϲιν ὡϲ 15
ἀποροῦνταϲ καὶ οὐκ ἔχονταϲ ἀντειπεῖν.

Δεῖ δὲ παρὰ ταῦτα μηδένα ἄλλον τρόπον ἐρωτήϲεων τῶν
πρὸϲ τὸν ἀντίδικον ἐπινοεῖν· ἐνϲτάντοϲ γὰρ τοῦ ἐρωτωμένου
πρὸϲ ὁτιοῦν, οὐ πρὸϲ ὁτιοῦν ἡττῆϲθαι δόξει.

Δεῖ δὲ † ὁμοίωϲ ἐρωτᾶν μηδὲ διὰ πολλῶν ἐρωτημάτων περαι- 20
οῦϲθαι τὰ ἐνθυμήματα· ἀϲθενὴϲ γὰρ ὁ ἀκροατήϲ.

Φεύγοντοϲ τοῦ ἐρωτωμένου τὴν ἀπόκριϲιν καὶ ἀνάγκαζε αὐ-
τὸν ἀποκρίνεϲθαι· οἵ τε γὰρ φεύγοντεϲ τὰϲ ἀποκρίϲειϲ ἐγνωκέναι
δοκοῦϲι | καὶ τάχα ἂν εὕροιέν τινα διάλογον βιαϲθέντεϲ ἀπαν- 332 R.
τῆϲαι πρὸϲ τὴν ἀπόκριϲιν. 25

Ἔϲτι δὲ ἄλλοϲ τρόποϲ ἔξω τῶν πρὸϲ τὸν ἀντίδικον τοῦ ἐρω-
τᾶν †· τοῦτο δὲ ποιεῖν δεῖ, ὅταν ἴδωμεν τοὺϲ δικαϲτὰϲ ϲυμπερι-
φερομένουϲ ἡμῖν καὶ ἃ ἡμεῖϲ ἂν βουληθείημεν ἀποκριναμένουϲ

---

5 *τοὺς* Seguier, *τοῖς* P. 8 *δὲ* del. Schneidewin. 9 *αὐτόν* Spengel, *αὐτόθεν* P. 12 *ἐρωτᾶν* Schneidewin, *ἐρωτ°* P. 13 *ἀλλ' ἢ* post *ἐρώτησιν* add. Schneidewin ex Arist. 19 *οὐ πρὸς ὁτιοῦν* del. Spengel. 20 *ὁμοίως* P, *συντόμως* Schneidewin, *συντόνως* Bake. *ἐρωτημάτων* Finckh, *ῥημάτων* P. 21 *ἐνθυμήματα* Rabe ex Arist., *ἐνοήμα|ματα* P. 22 *ἐρωτωμένου* Schneidewin, *ἐρωτουμένου* P. *ἀνάγκαζε* Finckh, *ἀναγκάζει* P. 26. 27 post *ἐρωτᾶν* lacunam indic. Rabe, qui scribere uult aut *τοῦ ἐρωτᾶν* ⟨*τὸ τοὺς δικαστὰς ἐρωτᾶν*⟩ aut *τὸ ἐρωτᾶν* ⟨*τοὺς δικαστὰς*⟩. 27. 28 *συμπεριφερομένους* Seguier, *συμφέρον* P.

πυνθάνεσθαι καὶ τούτων· τοῦτον γὰρ τὸν τρόπον ἔστιν ἄνευ κινδύνου πάντα συλλογίζεσθαι· ὡς γὰρ αὐτοῦ τοῦ πράγματος ἔχοντος τἀληθὲς οἱ ἀκούοντες καὶ τοῖς ἐξ ἐναντίας † τοῖς ἐρωτῶσι προσομολογεῖν.

5 Δεῖ δὲ καὶ τὰς αἰτίας ἐπιφέρειν ταῖς ἐρωτήσεσι [καὶ ταῖς ἀποκρίσεσιν], αἷς αὐτο * ἐρωτῶμεν, οἷον 'εἰ δέ τίς σε ἔροιτο· τί δήποτε; τοῦτο γὰρ εὔλογον ἢ φύσιν ἔχον ἐστὶ † τοῦ ἀποκρίνασθαι ἢ τοῦ εὐνοϊκῶς ἔχοντος τῇ πόλει· καὶ γὰρ ἡδὺ καὶ ἀκριβέστερον οὕτω φαίνεται'. χρήσῃ δὲ καὶ τούτῳ τῷ ὀργάνῳ 10 πανταχοῦ.

Εἰσὶν οὖν τῶν ἐρωτήσεων οὗτοι οἱ τρόποι· τὸ τὰ ὁμολογούμενα ἐρωτᾶν, τὸ εἰς ἄτοπον ἐμβαλεῖν τὸν ἐρωτώμενον, καὶ τὸ ἐρωτᾶν τότε, ὅτε εἰς τοὐναντίον μέλλῃς περιστήσειν, καὶ ἀληθέσι ψευδῆ συμπλέκοντα ἐρωτᾶν, καὶ μὴ διὰ πολλῶν ἐρωτήσεων συμ-15 περαίνειν τὸν συλλογισμόν, καὶ αὐτὸν ἐρωτᾶν, ὅταν ἴδωμεν καὶ τοὺς δικαστὰς συμπεριφερομένους ἡμῖν, καὶ τὸ μετὰ προσθέσεως τῆς αἰτίας ἐρωτᾶν.

ΠΕΡΙ ΑΠΟΚΡΙΣΕΩΣ. Τρόποι δὲ αὐτῶν ἢ διώσασθαι τὰς ἀποκρίσεις τέλεον ἢ φθάσαντες αὐτοὺς ἐρωτήσομεν· εἰ ἄρα δὲ ἀπο-333 R. κρίνασθαι δεῖ, τὴν αἰτίαν | προσθέντες ἀποκρινούμεθα, καὶ τὰ 21 ἀμφίβολα ἐξαπλώσομεν καὶ τῷ λόγῳ καὶ πρὸ τοῦ συμπεράσματος, † ὅταν εἰς τοὐναντίον ἡ ἐρώτησις περιάγοι, εἰ φέροι εὐθὺς τὴν λύσιν καὶ αὐτὸ τὸ συμπέρασμα αὐτὸς ἔχων λῦσαι, μὴ προσποιούμενος, ὅτι αὐτὸς ἀντερωτᾷ τὸ συμπέρασμα.

25 Τρόποι μὲν οὖν οὗτοι· παραδείγματος δὲ ἕνεκα ὑποτάξω καθ' ἕκαστον. ἔφην γὰρ 'τὰς ἀποκρίσεις ἤτοι διωσόμεθα καθάπαξ', ἂν ἔχωσί τι δυσχερές, οἷον ὡς Καλλίας ποτὲ λέγεται εἰπεῖν, ὅτι ἀποκρίνεται (cf. Iphicrates fr. 9 O A II 220 Tur.), εἰ τοσοῦτον αὐτῷ δοίη χρόνον ⟨ὁ⟩ ἐρωτῶν, ὅσον αὐτὸς ἐμελέτα τὴν ἐρώ-

26 — p. 31, 1 cf. fr. 59*b* p. 40, 27—31.

---

3. 4 *καὶ τοῖς ἐρωτῶσι προσομολογοῦσιν* coni. Schneidewin, *τοῖς* del. Bake. 5. 6 *καὶ ταῖς ἀποκρίσεσιν* del. Schneidewin. 6 *αὐτο` ἐρωτῶμεν* P m. pr., *αὐτοὶ μὲν ἐρωτῶμεν* Spengel. 7 *τοῦ* P, del. Spengel, *τὸ* Rabe dubitanter. 15 *αὐτὸν* P, ,exspecto *τοὺς δικαστὰς*' Rabe. 22 *ὅταν δ' εἰς* Schneidewin. *εἰ φέροι εὐθὺς τὴν* Rabe, *εἰ φέροιετὴν* P. 25 *τρόποι* Schneidewin, *τόποι* P. 26 *ἔφην*] cf. u. 18 s. 29 *ὁ* add. Seguier.

τησιν, 'ἢ φθάσαντες ἐρωτῶμεν αὐτούς', ἃ ῥᾴδιά ἐστιν ἀποκρίνασθαι, οἷον ἐπειδὰν ἐρωτᾷ με, τί ⟨ἂν⟩ ἐποίησα· 'οὐκ ἂν τόδε, ἀλλὰ τόδε', οἷον 'οὐκ ἂν ἐσυκοφάντουν τοὺς φίλους, ἀλλ' εἰργαζόμην'.

Ἐὰν δὲ ἀναγκαῖον ᾖ πάντως ἀποκρίνασθαι, αἰτίαν τινὰ χρὴ 5 προστιθέναι τῇ ἀποκρίσει, οἷον ὡς Ὑπερίδης ἐρωτηθεὶς ὑπὸ Ἀριστογείτονος. εἰ ἔγραφε τοὺς δούλους ἐλευθέρους εἶναι, ἔφη (fr. 27. 28 Bl.[3]) 'ἵνα μὴ οἱ ἐλεύθεροι δουλεύωσι'.

Τά γε μὴν ἀμφίβολα οἷον τὸ 'πῇ μὲν ἔπραξα, πῇ δὲ οὔ' ἐξαπλοῦν τῷ λόγῳ καὶ τὰς αἰτίας προστιθέναι, οἷον 'τόδε μὲν 10 ἔπραξα διὰ τόδε', καὶ ὅλως τὰς βραχυλογίας καὶ συντομίας παρέχεσθαι ἐπὶ ταῖς ἀποκρίσεσι, † τὰ δὲ προσδιορισμοῦ φευκτέον.

Εἰ δὲ εἰς ἐναντίον ἡ ἐρώτησις ἀπάγει, τὴν λύσιν φέρειν χρὴ ἤτοι πρὸ τοῦ ἐπιόντος ἐρωτήματος ἢ ἁπλῶς πρὸ τοῦ συμπερανθῆναι τὸν συλλογισμὸν τῷ ἐρωτῶντι· σχεδὸν γὰρ οὐκ ἄδη- 15 λον εὐθὺς ἐρωτῶντος, ὅτι βούλεται ὁ λόγος· ὥστε φθάσαντα τὴν αἰτίαν ἐπενεγκεῖν, ἢ ἀφαιρήσει τὸν τόπον.

Ἔστι δὲ καὶ τῷ συμπεράσματι ὡς ἐρωτήματι χρῆσθαι μὴ προσποιούμενον, ὅτι ὁ ἐρωτῶν συμπέρασμα ἐπήγαγεν, ἀλλ' ὡς πρὸς τὰς ἄλλας προτάσεις ἀποκρίνασθαι καὶ πρὸς τὸ συμπέρασμα 20 ὡς ἐρωτῶντος.

Ἔτι ἀπομνημονεύουσι περὶ τοῦ τῆς ἐφορείας εὐθυνομένου Λάκωνος· ἑαλωκότων ἔτι τῶν συναρχόντων ἐρωτηθείς, εἰ δοκήσει † δικαίως | ἀπήχθησαν οἱ ἔφοροι, ἔφη· πάλιν δὲ ἀναπυνθανο- 334 R. μένων, εἰ τῆς πράξεως κεκοινώνηκεν αὐτοῖς, 'κεκοινώνηκα'. 'οὐ- 25 κοῦν' λεγόντων 'καὶ σὺ δικαίως ἂν ἀπόλοιο;' 'οὐ δῆτα', ἔφη· 'οἱ μὲν γὰρ χρήματα λαμβάνοντες ταῦτα ἔπραξαν, ἐγὼ δὲ ἀπὸ γνώμης'. μὴ προσποιηθείς, ὅτι συμπέρασμα ἐπήγαγεν, ἔλυσε καὶ λογικῶς τὸν συλλογισμόν. ὅθεν καὶ τὸ αὐτὸ τοῖς ἐρωτῶσι

1—8 cf. fr. 59 *b* p. 41, 3—8.

---

2 *ἂν* add. Spengel. 3 *οὐκ ἂν ἐσυκοφάντουν* Spengel, *ἐσυκοφάντουν οὐκ ἂν* P. 12 *τοὺς δὲ προσδιορισμοὺς* Finckh, ‚fort. *τὰ δὲ προσδιορισμοῦ ⟨δεόμενα⟩*' Rabe. 17 ‚fort. *ἀναιρήσει τὸ ἄτοπον*' Rabe. 23 *ἔτι* del. Spengel, *ἤδη* Schneidewin. 23. 24 *δοκήσει* del. Schneidewin, *δοκήσει ὅτι* Seguier. 25 *εἰ* Seguier, *ἢ* P. *κεκοινώνηκα* Schneidewin, *κοινωνήσω* P.

παραφυλακτέον, * πολύς τις τῇ τῶν πραγμάτων ἀληθείᾳ περιείη μάλιστα, ὡς μήτε αὐτὸ τὸ συμπέρασμα ἄλλα τινὰ συ * συλλογισαμένου ἅπαξ· εἰ γὰρ μετὰ τὴν ἀπόκρισιν τοῦ ἐφόρου τουτουὶ τὴν δευτέραν ὁ συλλογισμὸς ἐπήχθη τῷ κατηγόρῳ αφο * 'δῆλον τοί-
5 νυν, ὅτι καὶ σὲ τεθνάναι χρή', οὐκ ἂν ἔσχεν ἀποκρίνασθαι καὶ σωθῆναι.

hanc doctissimam transcriptionem Aristotelici capitis (rhet. III 18) de interrogando et respondendo a Caecilio compositam esse Angermann l. c. p. 60—63 docet. idem Wendland l. c. p. 312 iudicare uidetur. praeterea de hoc fragmento inspicienda sunt, quae Brzoska (Pauly-Wissowa I p. 2330) et Rabe (l. c. p. XV s) protulerunt.

IV
ΠΕΡΙ ΣΧΗΜΑΤΩΝ

Qvintilianvs inst. or. IX 3, 89: haec omnia (de figuris uerborum et sententiarum) copiosius sunt exsecuti, qui non ut partem operis transcurrerunt, sed
10 proprie libros huic operi dedicauerunt sicut Caecilius, Dionysius, Rutilius, Cornificius, Visellius aliique non pauci.

Dionysivs halic. de comp. uerb. 8 p. 32, 13 = de figur. p. 252, 13 Vs. et R.: *πολλοὶ δὲ δή που σχηματισμοὶ καὶ τῆς*
15 *λέξεώς εἰσιν ὥσπερ καὶ τῆς διανοίας, οὓς οὐχ οἷόν τε κεφαλαιωδῶς περιλαβεῖν, ἴσως δὲ καὶ ἄπειροι· περὶ ὧν καὶ πολὺς ὁ λόγος καὶ βαθεῖα ἡ θεωρία.*

---

1 *παραφυλακτέον εἰ μὴ πολλή τις τῶν πραγμάτων ἀλήθεια περιείη* Spengel. 2 *ἄλλα*] ,fort.' *ἄλλην* P. 2. 3 *συ* .... *συλλογϊσαμένου ἅπαξ* P, ,exspecto *μήτε αὐτὸ τὸ συμπέρασμα μήτε ἄλλα τινὰ ἐπαχθῆναι, αὐτοῦ συλλογισαμένου ἅπαξ*' Rabe. 4 *αφο. . δῆλον* P, *ἀφ' οὗ δῆλον* Spengel, ,*ἀφορίζων 'δῆλον* uel tale quid' Rabe.

hoc loco Dionysium Caecilii libro aduersari Barczat l. c. p. 33, 1 putat.

50 (u. 1—12 = 41 B.) Epitome Phoebammonis Rh. Gr. III p. 44, 1 Sp.: ὁρίζεται δὲ Ζωΐλος (fr. 3 OA II 250[b] Tur.; fr. 16 Friedlaender) οὕτως· σχῆμά ἐστιν ἕτερον μὲν προσποιεῖσθαι, ἕτερον δὲ λέγειν. τρία ἁμαρτάνει ὅτι οὐ περιλαμβάνει περὶ πάντων τῶν σχημάτων. 5 τὰ γὰρ πλεῖστα ἐκ τοῦ εὐθέος καὶ ἁπλοῦ σχηματίζεται, ὡς ὅτε ἀποφαινόμεθά τι ἢ διαποροῦμέν τι καθ' ἑαυτοὺς ἢ ἀποστροφῇ χρώμεθα ἄνευ προσποιήσεως. Κεκίλιος δὲ ὁ Καλακτίτης ὡρίσατο οὕτω· „σχῆμά ἐστι τροπὴ εἰς τὸ μὴ κατὰ φύσιν τὸ τῆς διανοίας καὶ λέ- 10 ξεως". τὸ οὖν μὴ κατὰ φύσιν οὐ καλόν, τὸ δὲ [μὴ καλὸν] τροπή ἐστιν ἐπὶ τὸ χεῖρον.

Ἀθηναῖος δὲ [ὁ Ναυκρατίτης] καὶ Ἀπολλώνιος ὁ ἐπικληθεὶς Μόλων ὡρίσαντο οὕτω· σχῆμά ἐστι μεταβολὴ εἰς ἡδονὴν ἐξάγουσα τὴν ἀκοήν. οὐ πάντοτε δὲ μεταβάλλεται· καὶ γὰρ καὶ ἠθικεύεται 15 καὶ ἐμφαντικώτερον ποιεῖ τὸν λόγον.

2—8 cf. fr. 50*a* p. 34, 21—24, ubi similia traduntur. 9 s uide fr. 94 p. 73, 5 s (cf. Martens l. c. p. 14, 2). 9—11 cf. fr. 50*a* p. 34, 3—5, quibus eadem fere legimus. de u. 2—11 adeundi sunt Brzoska l. c. p. 1177 s, Barczat l. c. p. 20 et 35. etiam 13 ss ad Caecilium redire Barczat l. c. p. 29 et 36 contendit.

50a (p. 34, 11—26 = 42 B.) Qvintil. IX 1, 10: *est autem non mediocris inter auctores dissensio, et quae uis nominis eius et quot genera et quae quam multaeque sint species. quare primum intuendum est, quid accipere debeamus figuram. nam* 20

2 *Ζώιλος* libri, sed cf. Friedlaender p. 29, qui *Ζωΐλος* emendat. 4 *τρία* corruptum? 9 *Καλακτίτης* corr. Norrmann, *καλανδίτης* libri. 10. 11 *διανοίας ἢ λέξεως* coni. Brzoska l. s. p. 1177. 11. 12 *μὴ καλὸν* secl. Spengel. 13 *ὁ Ναυκρατίτης* del. G. Thiele *Hermagoras* p. 184.

duobus modis dicitur: uno qualiscumque forma sententiae, sicut in corporibus, quibus, quoquo modo sunt composita, utique habitus est aliquis: (11) *altero, quo proprie schema dicitur, in sensu uel sermone aliqua a uulgari et simplici specie cum*
5 *ratione mutatio, sicut nos sedemus, incumbimus, respicimus. itaque cum in eosdem casus aut tempora aut numeros aut etiam pedes continuo quis aut certe nimium frequenter incurrit, praecipere solemus uariandas figuras esse uitandae similitudinis gratia.* (12) *in quo ita loquimur, tamquam omnis sermo habeat*
10 *figuram, . . .*

quare illo intellectu priore et communi nihil non figuratum est. quo si contenti sumus, non immerito Apollodorus, si tradenti Caecilio credimus, incomprehensibilia partis huius praecepta existimauit. (13) *sed*
15 *si habitus quidam et quasi gestus sic appellandi sunt, id demum hoc loco accipi schema oportebit, quod sit a simplici atque in promptu posito dicendi modo poetice uel oratorie mutatum. sic enim uerum erit, aliam esse orationem* ἀσχημάτιστον, *id est carentem figuris, quod*
20 *uitium non inter minima est, aliam* ἐσχηματισμένην, *id est figuratam.* (14) *uerum id ipsum anguste Zoilus* (fr. 3 OA II 250[b] Tur.; fr. 11 Friedl.) *terminauit, qui id solum putauerit schema, quo aliud simulatur dici quam dicitur, quod sane uulgo quoque sic accipi scio, unde et*
25 *figuratae controuersiae quaedam . . uocantur. ergo figura sit arte aliqua nouata forma dicendi.*

3—5 cf. fr. 50, 9—11. 21—24 cf. fr. 50, 2—8.

11—26 inspicias, quae C. A MORAWSKI l. c. p. 54 s, BRZOSKA l. c. p. 1177 s, BARCZAT l. c. p. 20 adnotauerunt. etiam quae praecedunt Caeciliana sunt: cf. MARTENS l. c. p. 14, 2 et BARCZAT l. c. p. 20 et 36; ad u. 3—5 cf. BRZOSKA l. c. p. 1177.

---

21 ipsum tamen A^1Bg^2.

***51** Aqvila romanvs Rh. L. m. p. 27, 12 Halm: *est igitur omnis oratio aut soluta, nulla inter ⟨se⟩ necessitate numerorum, neque composita membris quibusdam uel determinata certa circumscriptione uerborum. ea plerumque in sermone assiduo et in epistolis utimur. . . aut perpetua, quam Graeci* εἰρομένην 5 λέξιν *appellant. quae ita conectitur, ut superiorem elocutionem semper proxima sequatur atque ita seriem quandam significatus rerum explicet. . . . alia autem quae ex ambitu constat, quem ambitum Graeci* περίοδον *appellant.*

5—9 ex Aristotele (rhet. III 9 p. 1409ᵃ 24 ss) petitos esse Angermann l. c. p. 52 iudicat; hac de causa idem uir doctus Caecilium fontem Aquilae Romani fuisse statuit. 1—5 quoque ad Calactinum reduxit. cf. Quintil. IX 4, 19.

***52** Aqvila rom. p. 28, 15 H.: . . *etsi nonnulli ex uno* 10 *membro ambitum putant posse compleri, quam* μονόκωλον περίοδον *appellant.*

haec uerba, quae doctrinam Aristoteleam (rhet. III 9 p. 1409ᵇ 16 s) redolent, Angermannvm (l. c. p. 53) secutus Caecilio dubitanter uindicauerim.

***53** Epitome Alexandri Rh. Gr. III p. 27, 17 Sp.: περίοδος μὲν οὖν ἐστι λόγος ἐν εὐπεριγράφῳ [καὶ] κώλων συνθέσει αὐτοτελῆ διάνοιαν ἐκφέρων, κτλ. 15

hanc definitionem (de qua cf. Radermacher in editione Demetrii *περὶ ἑρμηνείας* p. 65 s) per Caecilium ex Aristotele rhet. III 9 p. 1409ᵇ 8 ad Alexandrum peruenisse Angermann l. s. p. 53 contendit. ex eodem fonte sumpsit Herodianus Rh. Gr. III p. 93, 7 Sp. fortasse in toto Alexandri capite p. 27, 9 — 29, 2 Sp. ingenium Caecilii cognoscendum est.

---

2 se *addunt editores.* 5. 6 *εἰρομένην λέξιν Rob. Stephanus,* romenen lexin *liber.* 14 *ἄνευ περιγραφῶν καὶ* libri, em. Radermacher conlato Herodiano.

***54** Aqvila romanvs p. 31, 23 H.: *ideoque et Aristoteli* (rhet. III 12 p. 1413^b 29 ss) *et iteratio ipsa uerborum ac nominum et repetitio frequentior et omnis huius modi motus actioni magis et certamini quam stilo uidetur conuenire: qua de re in tertio* 5 *Rhetoricorum libro* (III 12 p. 1413^b 4 ss) *disserit.*

hunc locum Caecilii esse Angermann l. c. p. 51 s iudicat.

55 Qvintil. IX 1, 19: *ut uero natura prius est concipere animo res quam enuntiare, ita de iis figuris ante est loquendum, quae ad mentem pertinent.*

magna similitudo intercedit inter haec uerba et inter ea, quae Tiberius (uide fr. 55*a*) et quae Alexander (cf. fr. 55*b*) praebent. fr. 55 Coblentz l. c. p. 17 et Barczat l. c. p. 39, 1 ad Caecilium reuocauerunt.

55a Tiberivs Rh. Gr. III p. 59, 22 Sp.: πρῶτον οὖν τὰ τῆς 10 διανοίας σχήματα δεικτέον, ἐπεὶ δεῖ τὸν νοῦν πάντως τοῦ λόγου προηγεῖσθαι.

hunc locum Coblentz l. c. p. 17 Caecilio attribuere uidetur.

55b Epitome Alexandri III p. 27, 9 Sp.: τὰ μὲν τῆς διανοίας σχήματα προείρηται κατὰ λόγον ἡμῖν· παντὸς γὰρ λόγου προάγει ἡ τοῦ διανοήματος εὕρεσις, ἕπεται δὲ λέξις τῷ διανοήματι, δι' 15 αὐτῆς ποιοῦσα φανερὸν αὐτό.

hoc fragmentum Barczat l. c. p. 39, 1 Caecilio adscripsit.

---

5 rhetoricorum libro *Aldus,* rhetoricarum libro artium *liber.*

Α΄. τὰ τῆς διανοίας σχήματα

56 Tiberius III p. 62, 26 Sp.: ἀποσιώπησις δέ ἐστιν ὅταν μέλλων λέγειν πρᾶγμα αὐτὸ μὲν ἀποσιωπήσῃ, τὴν δὲ ὑπόνοιαν αὐτοῦ καταλίπῃ· 'ἀλλ' ἐγὼ μέν — οὐ βούλομαι δὲ οὐδὲν δυσχερὲς εἰπεῖν ἀρχόμενος τοῦ λόγου, οὗτος δὲ ἐκ περιουσίας μου κατ- 4
ηγορεῖ' (Demosth. XVIII 3). καὶ πάλιν | πρὸς τὸν Χαρίδημον 63 Sp.
(id. XXIII 213) 'ᾧ μήτηρ μὲν οὐκ ἐρῶ τίς ἢ πόθεν· οὐδὲν γὰρ δεῖ πλείω τῶν ἀναγκαίων αὐτὸν ἐξετάζεσθαι'· οὐδὲν γὰρ ἂν εἶπε τοιοῦτον οἷον τῇ ὑπονοίᾳ παρέδωκεν.

3—5 idem exemplum in animo habet Quintilianus haec dicens (IX 2, 54): ἀποσιώπησις .... *cui simile est in prooemio pro Ctesiphonte Demosthenis*; nec illud apud Aquilam Romanum (siue Alexandrum Numenii) non exstat, ubi legitur (p. 24, 8 H.): ἀποσιώπησις, ... *ut est Demosthenicum illud prooemium: 'non pari ego et aduersarius* ⟨*periculo*⟩ *ad iudicium uenimus, sed mihi quidem — nolo quicquam initio dicendi ominosius proloqui'*. 6—7 hoc exemplum Alexander quoque p. 22, 10—12 Sp. praebet. Caecilii uestigia detexisse Reppe l. s. p. 51 s sibi uisus est.

***57** Epitome Alexandri III p. 22, 30 Sp.: εἰρωνεία δέ ἐστι λόγος προσποιούμενος τὸ ἐναντίον λέγειν, ὡς ἐπὶ τῆς Μηδείας Εὐ- 10
ριπίδης (509—511) |

τοιγάρ με πολλαῖς μακαρίαν Ἑλληνίδων 23 Sp.
ἔθηκας ἀντὶ τῶνδε, θαυμαστὸν δέ σε
ἔχω πόσιν καὶ σεμνὸν ἡ τάλαιν' ἐγώ

καὶ τὰ ἑξῆς. καὶ ὡς ὁ Δημοσθένης (XVIII 41) 'δῆλον γάρ, ὅτι 15
σὺ μὲν ἀλγεῖς ἐπὶ τοῖς τῶν Θηβαίων ἀτυχήμασιν, κτήματα ἔχων ἐν τῇ Βοιωτίᾳ, ἐγὼ δὲ χαίρω, ὃς εὐθὺς ἐξητούμην ὑπὸ τοῦ ταῦτα πεποιηκότος'. εἴδη δὲ τῆς εἰρωνείας τέτταρα, ἀστεϊσμός, μυκτηρισμός, σαρκασμός, χλευασμός.

Caecilium fontem esse Barczat l. s. p. 21 (et p. 35) contendit.

58 Epitome Alexandri III p. 24, 31 Sp.: ἐρώτημά ἐστι, πρὸς
25 Sp. ὃ ἀνάγκη ἀποκρίνασθαι κατ' | ἀπόφασιν ἢ κατάφασιν οὕτω 'ναί'
ἢ 'οὔ', οἷον 'ἐξῆλθες ἐπὶ τὴν μάχην ἢ οὔ;' καὶ ὡς Δημοσθένης
(XVIII 71) 'πότερον ταῦτα ποιῶν ἔλυε τὴν εἰρήνην ἢ οὔ;' ἀνάγκη
5 γὰρ καὶ πρὸς τοῦτο ἢ 'ναί' ἢ 'οὔ' ἀποκρίνασθαι.

hoc fragmentum et fr. 59*a* doctrinam Stoicam (Laert. Diog. VII 66) redolere Coblentz l. s. p. 22 s demonstrauit. 1—2 cf. fr. 59 *b* p. 40, 1—2; praeterea cf. u. 3—4 et fr. 59, 24—25 et fr. 59 *b* p. 40, 5—6 et p. 41, 20—21. hunc locum Caeciliana continere Coblentz l. s. p. 22 s et Angermann l. s. p. 61 putant.

59 Tiberius III p. 64, 29 Sp.: τὸ πυσματικὸν σχῆμα ἔργα
μὲν ἔχει τέσσαρα, προσοχήν, σαφήνειαν, ἐνάργειαν, ἔλεγχον. προσ-
65 Sp. οχὴ | μὲν οὖν ἐστίν, οἷον 'διὰ τί;' καὶ πάλιν 'τίνος οὕνεκα ταῦτα
λέγω;' ἐπιστρέφει γὰρ τοὺς ἀκούοντας ἡ τοιαύτη ἐρώτησις. σα-
10 φήνεια δὲ οὕτως, ὡς ἐν τῷ Κατὰ Ἀριστοκράτους (Dem. XXIII 27)
'ὁ μὲν τὸν νόμον τιθεὶς οὕτως, ὁ δὲ τὸ ψήφισμα γράφων πῶς;'
καὶ πάλιν 'ποῦ τοῦτο δηλοῖ; ἔν τε τῷ προτέρῳ νόμῳ καὶ ἐν
τούτῳ'. καὶ πάλιν 'ἀλλὰ πῶς; ὡς ἐν τῷ ἄξονι εἴρηται, φησί'.
ᾔδει γὰρ τὴν τῶν νόμων ἐξέτασιν φύσει δυσπαρακολούθητον
15 οὖσαν, σαφήνειαν δὲ [τὸ] δοῦναι τὸ σχῆμα δυνάμενον. ἐνάργεια
δέ ἐστι τὸ τοιοῦτον (Dem. XVIII 212) 'πῶς ἂν ὠμότερος συκο-
φάντης γένοιτο;' καὶ πάλιν 'καὶ τίς ἂν γένοιτο ἀναιδείας ὑπερ-
βολή;' ἔλεγχος δέ ἐστι τὸ τοιοῦτον, ὅταν λέγῃ (XVIII 62) 'τί πράτ-
τειν ἔδει καὶ ποιεῖν τὴν πόλιν;' καὶ πάλιν (64) 'τῆς ποίας μερίδος
20 γενέσθαι τὴν πόλιν ἐβούλετ' ἄν;' καὶ τρίτον εἰς τὸ αὐτό (XVIII 66)
'τί τὴν πόλιν, Αἰσχίνη, προσῆκε ποιεῖν ἀρχὴν καὶ τυραννίδα τῶν
Ἑλλήνων ὁρῶσαν αὑτῷ κατασκευαζόμενον Φίλιππον;' καὶ τέταρ-
τον (XVIII 69) 'ἤδη γάρ σε ἐρωτῶ, πάντα τὰ ἄλλα ἀφείς'. καὶ
πάλιν (Dem. XVIII 71) 'πότερον πάντα ταῦτα ποιῶν ἠδίκει καὶ
25 παρεσπόνδει καὶ διέλυε τὴν εἰρήνην ἢ οὔ; καὶ πότερον φανῆναί

18—19 cf. fr. 65, 10—12. 21—22 cf. fr. 4 p. 4, 28 s. 23 cf. fr. 70 p. 52, 13 s et 70*a* 11 s. 24—25 cf. fr. 58, 3—4.

---

15 *σαφήνεια* libri, corr. Capperonnerus. *τὸ* secl. idem. 21 *προσῆκε* Spengel ex Dem. codicibus, *προσήκει* Tiberii libri.

τινα τῶν Ἑλλήνων τὸν ταῦτα κωλύσοντα ποιεῖν αὐτὸν ἐχρῆν ἢ μή;' οὐδὲ γὰρ ἀνενεγκεῖν τῷ ἀντιδίκῳ συνεχώρησεν, ἀλλὰ τῷ συνεχεῖ τῆς ἐρωτήσεως τὸ ἄπορον τῆς ἀποκρίσεως ἐξελέγχει.

in hac figura tractanda Tiberius et Gregorius Cor. (uide fr. 59*b* p. 41, 8—21) plane consentiunt. utrumque Caecilii librum adhibuisse Angermann l. s. p. 61 s putat.

59a Epitome Alexandri III p. 25, 6 Sp.: πύσμα δέ ἐστι, πρὸς ὃ διεξοδικῶς ἀπαντῆσαι δεῖ καὶ διὰ πλειόνων, ὡς ἔχει τὸ τοιοῦτον (Dem. XVIII 209) 'ἐμὲ δέ, ὦ τριταγωνιστά, τὸ τίνος φρόνημα λαβόντα τούτοις συμβουλεύειν ἔδει;' ἐνταῦθα γὰρ οὐκ ἔστιν ἀποκρίνασθαι 'ναί' ἢ 'οὔ', ἀλλὰ διὰ πλειόνων ἀνάγκη ἀπαντᾶν τῷ τοιοῦτον ἐροῦντι. 5

cf. quae ad fr. 58 dixi. 4—5 cf. fr. 59*b* p. 39, 13—15, ubi similem definitionem inuenimus; in eodem fr. 59*b* exstat etiam id exemplum (u. p. 41, 22—23), quod Alexander hic (6—7) affert. Coblentzio (l. s. p. 22 s) et Angermanno (l. s. p. 61 s) praecedentibus hanc doctrinam Caecilianam esse arbitror.

59b Gregorivs corinthivs commentarius ad Hermog. de methodo grauitatis Rh. Gr. VII 2 p. 1202, 13 W.: γένος δὲ οὖσα ἡ ἐρώτησις διαιρεῖται εἰς δύο εἴδη, τὴν πεῦσιν καὶ τὴν ἐρώτησιν, ἥτις καὶ ἐν πολιτικοῖς λόγοις καὶ ἐν διαλόγοις θεωρεῖται, καὶ ἔστι πρὸς τὴν πεῦσιν μὲν μὴ μοναχῶς ἀποκρίνασθαι, ἀλλὰ διεξοδικῶς· ἡ γὰρ πεῦσις διὰ πλειόνων δέχεται τὴν ἀπόκρισιν, οἷον πρὸς τό (cf. Ζ 123 ss) 10 15

τίς, πόθεν εἰς ἀνδρῶν;

ἠναγκάσθη ὁ Γλαῦκος ἄνωθεν γενεαλογῆσαι· ἔστι γὰρ πεῦσις, πρὸς ἣν διεξοδικῶς ἀποκρίνασθαι δεῖ, καὶ ἡ μέν ἐστιν ἁπλῆ, ἡ δὲ οὐχ ἁπλῆ· ἁπλῆ μὲν οἷον 'ποῦ μένει Δίων;', οὐχ ἁπλῆ δέ, οἷον (Dem. XVIII 124) 'ἐμόν γε τίς ἐχθρὸν ἢ τῆς πόλεως φήσειεν εἶναι;' πρὸς δὲ τὴν ἐρώτησιν καταφῆσαι δεῖ μόνον ἢ ἀποφῆσαι· 20

13—15 ∼ fr. 59*a*, 4—5. 15—18 ∼ fr. 59*c* p. 42, 1—4.

---

18 *ἀναγκάσθη* Vind.

ἐρώτηϲιϲ γάρ ἐϲτι, πρὸϲ ἣν καταφατικῶϲ ἢ ἀποφατικῶϲ ἀποκρίνεϲθαι δεῖ. ἔϲτι δὲ καὶ αὕτη διττή, ἡ μὲν ἁπλῆ, ἡ δὲ οὐχ
1203 W. ἁπλῆ. καὶ ἁπλῆ μὲν | ἡ τοιάδε (Aeschin. II 88) 'ἆρ' οὖν δοίητέ μοι κίναιδον αὐτὸν εἰπεῖν;' οὐχ ἁπλῆ δὲ ἡ τοιαύτη
5 (Dem. XVIII 71) 'πότερον ἠδίκει καὶ παρεϲπόνδει καὶ τὴν εἰρήνην ἔλυεν ἢ οὔ;' ἔϲτι δὲ καὶ ἄλλην διαφορὰν εἰπεῖν, ὅτι ὁ μὲν ἐρωτῶν οἶδεν, ἃ ἐρωτᾷ, μόνον δὲ τὴν ϲυγκατάθεϲιν ζητεῖ, ὁ δὲ πυνθανόμενοϲ οὐκ οἶδε περὶ ὧν πυνθάνεται. ἰϲτέον δέ, ὅτι ἡ πεῦϲιϲ ἐνταῦθα ἀντὶ ἐρωτήϲεωϲ παραλαμβάνεται. μέθοδοϲ δὲ
10 καὶ τοῦτο δεινότητοϲ, τὸ εἰδέναι, πότε δεῖ τοὺϲ ἀκούονταϲ ἐρωτᾶν καὶ πότε ἑαυτόν. ὅτε γὰρ θέλει ὁ ῥήτωρ ἄλλο τι εἶναι τὸ ἐρωτώμενον, ἑαυτὸν ἐρωτᾷ. ἐνίοτε δὲ καὶ τὸ πάντωϲ ἂν ὑπ' ἀλλήλων ἐρωτηθὲν ἑαυτῷ ἐπιφέρει, οἷον 'τίνοϲ ἕνεκα ταῦτα λέγω; ἵν' εἰδῆτε, ὦ Ἀθηναῖοι'. ποτὲ δὲ καὶ ὡϲ ἠρωτηκότοϲ
15 τινὸϲ ἀποκρίνεται, οἷον (Demosth. IV 44) 'ποῖ δὴ προϲορμιούμεθα; ἤρετό τιϲ. εὑρήϲει τὰ ϲαθρὰ τῶν Φιλίππου πραγμάτων'. ἐνίοτε δὲ καὶ καθ' ὑπόθεϲιν ἐρωτᾷ· 'εἴ τιϲ ὑμᾶϲ ἔροιτο, τί πονηρότατον νομίζετε ἐν τῇ πόλει;' οὐ δεῖ δὲ ἐρωτᾶν πολλάκιϲ, ὅταν ἔϲτιν εὐχερῶϲ ἀποκρίνεϲθαι. κἂν γὰρ ἐρώτημά τι εὐϲτόχωϲ λυ-
20 θείη, ἀνατέτραπται πᾶϲ ὁ ἀγών. λύεται δὲ τὰ ἄπορα ἐρωτήματα ἢ κατὰ ἀντερώτηϲιν ἢ κατὰ ἀναβολὴν ἢ κατ' ἀϲφάλειαν ἢ κατὰ αἰτιολογίαν ἢ κατὰ τὸ ἀνακόλουθον ἢ κατὰ λύπην τοῦ ἀντιδίκου. κατὰ ἀντερώτηϲιν, ὡϲ οἱ πλουτοῦντεϲ ἐρωτώμενοι, πότερον ἀδικοῦϲιν ἢ μή, ἀπαντῶϲι κατὰ ἀντερώτηϲιν 'ὑμεῖϲ δὲ
25 πότερον ὡϲ φίλουϲ ἢ ὡϲ ἐχθροὺϲ ἐρωτᾶτε;' καὶ ὁ Δημάδηϲ ἐρωτηθεὶϲ 'πῶϲ οὖν πολεμήϲομεν;' ἀπεκρίνατο (fr. 28 OA II 317ᵃ Tur.) 'πῶϲ οὖν τὴν εἰρήνην ἄξομεν;' κατὰ δὲ ἀναβολήν, ὡϲ Ἰφικράτηϲ ἐρωτηθείϲ, εἰ ὑπεδέξατο Λακεδαιμονίουϲ, οὐκ ἔχων ἀρνήϲαϲθαί φηϲιν (fr. 9 OA II 220 Tur.) 'εἴ μοι τοϲοῦτοϲ καιρὸϲ
30 ἐγένετο πρὸϲ τὴν ἀπόκριϲιν, ὅϲοϲ τούτῳ καιρὸϲ πρὸϲ τὴν ἐρώτηϲιν ἐγένετο, ῥᾳδίωϲ ἂν ἐλέγξαιμι τὸν λόγον.' κατὰ δὲ ἀϲφά-
1204 W. λειαν, ὅταν δεικνύω|μεν τὸν ἐρωτήϲαντα μὴ εἰδότα ὃ ἠρώτηϲεν, οἷον εἰ λέγοντόϲ τινοϲ 'ὁποῖόν τί ἐϲτιν ἄνθρωποϲ;' λέγομεν 'πό-

1—2 ∾ fr. 58,1—2. 5—6 ∾ fr. 58, 3—4. 15—16 ∾ fr. 94 p. 74, 31—33. 27—31 cf. fr. 49 p. 30, 26 — 31, 1.

14 *ἐρωτηκότος* Vind. 32 *ἐρώτησεν* Vind.

τερον τί ἐστιν, ἢ ὁποῖόν τί ἐστι;' κατὰ δὲ τὸ ἀνακόλουθον, οἷον εἰ λέγοντός τινος 'ἀπέκτεινας ἢ μή;' λέγοιμεν, ὅτι ἡμέρα ἐστὶν ἢ μή, καὶ τὰ τοιαῦτα. κατὰ δὲ λύπην τοῦ ἀντιδίκου, εἴ τινος εἰπόντος 'σὺ τοιαῦτα παθὼν τί ἂν ἐποίησας;' ἀποκρινόμεθα, ὅτι οὐκ ἂν ἐσυκοφάντουν τὸν φίλον. κατὰ δὲ αἰτιολογίαν, ὡς ὁ 5 Ἀριστογείτων πρὸς τὸν Ὑπερίδην· ἐκείνου γὰρ ἐρωτήσαντος, εἰ ἔγραψε τοὺς δούλους ἐλευθέρους εἶναι, αὐτὸς ἀποκρίνεται (cf. fr. 27. 28 Bl.[3]) 'ἵνα μὴ ἡμεῖς δουλεύσωμεν'. ἔργα δὲ πεύσεως προσοχὴ καὶ ἔλεγχος καὶ σαφήνεια. προσοχὴ μέν, ὅταν λέγῃ ὁ Δημοσθένης 'τίνος ἕνεκα καὶ διὰ τί ταῦτα λέγω;' προσεκτικὸν 10 γὰρ ποιεῖ τὸν ἀκούοντα ἡ τοιαύτη ἐρώτησις λέγοντος τοῦ ἀκροατοῦ καθ' ἑαυτόν, ὅτι οὐκ ἂν ἠρώτησεν ἑαυτὸν ὁ λέγων, εἰ μὴ ἔμελλέ τι ἀναγκαῖον ἐρεῖν. σαφήνειαν δέ, ὡς (Demosth. XXIII 27) 'ὁ μὲν τὸν νόμον τιθεὶς οὗτος, ὁ δὲ τὸ ψήφισμα λέγων καὶ γράφων τίς;' ἔλεγχος δέ, ὡς τό (id. XVIII 62) 'τί πράττειν ἔδει 15 τὴν πόλιν καὶ τί ποιεῖν;' καὶ (64) 'τῆς ποίας μερίδος γενέσθαι ἠβούλου;' τῷ γὰρ συνεχεῖ τῆς ἐρωτήσεως ἐλέγχει τὸ τῆς ἀποκρίσεως ἄπορον. . . . | . . . . . . οἷόν ἐστι τὸ τοῦ Δημοσθένους 1205 W. (XVIII 71) 'ἀλλ' ὁ τὴν Εὔβοιαν ἐκεῖνος σφετεριζόμενος καὶ κατασκευάζων ἐπιτείχισμα ἐπὶ τὴν Ἀττικήν' καὶ τὰ ἑξῆς 'πότερον 20 ταῦτα ποιῶν ἠδίκει καὶ παρεσπόνδει καὶ τὴν εἰρήνην ἔλυεν ἢ οὔ;' καὶ πάλιν (XVIII 209) 'ἐμέ, ὦ τριταγωνιστά, τίνος φρόνημα λαβόντα τοῦτο συμβου-λεύειν ἔδει;'

3—8 ∾ fr. 49 p. 31, 1—8. 8—21 ∾ fr. 59. 15—16 ∾ fr. 65, 10—12. 20—21 ∾ fr. 58, 3—4. 22—23 ∾ fr. 59*a*, 6—7.

hunc tractatum Caecilii doctrinam 'fortasse per plures riuulos' deductam amplecti Angermann l. s. p. 61 ss ostendit; cui adstipulari Sinko l. s. p. 533 uidetur.

59c Epitome Phoebammonis III p. 45, 6 Sp.: ἐρώτησις δὲ καὶ πεῦσις ταύτῃ διαφέρουσιν, τῷ τὴν μὲν ἐρώτησιν δι' ὀλίγων ἐπι- 25 δέχεσθαι τὴν ἀπόκρισιν οἷον

οὐχ ὁ τρόφιμός σου πρὸς θεῶν Ὀνήσιμε;

---

9 λέγει Vind. 12 ἐρώτησεν Vind. 19 ἐκείνη Vind.

πρὸς ἃ σύντομος ἡ ἀπόκρισις τὸ πάνυ μὲν οὖν· τὴν δὲ πεῦσιν διὰ πλειόνων ἐπιδέχεσθαι τὴν ἀπόκρισιν, οἷον (cf. Z 123 ss)

τίς, πόθεν εἶς ἀνδρῶν;

πρὸς ἣν ὁ Γλαῦκος ἄνωθεν ἠναγκάσθη γενεαλογῆσαι.

1—4 cf. fr. 59*b* p. 39, 15—18.

Phoebammonem Caeciliana nobis tradere Angermann l. s. p. 61 (62, 2) opinatur.

5 **60** Tiberivs III p. 69, 5 Sp.: φαίη δ' ἄν τις καὶ τὸ ὅρκου σχῆμα εἶναι παρ' αὐτῷ (sc. Δημοσθένει). τὸ γὰρ (Dem. XVIII 208) 'οὐ μὰ τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας καὶ τοὺς ἐν Πλαταιαῖς παραταξαμένους καὶ τοὺς ἐπ' Ἀρτεμισίῳ ναυμαχήσαντας καὶ . . .' ὅρκος ἐστί. τινὲς δέ φασι τοῦτο παράδειγμα εἶναι· 'οὐ 10 γὰρ ἡμάρτετε' φησίν (ibid.) 'ὑπὲρ τῆς ἁπάντων ἐλευθερίας καὶ σωτηρίας κίνδυνον ἀράμενοι, ὥσπερ οὐδὲ οἱ ἐν Μαραθῶνι προκινδυνεύσαντες'· καὶ γάρ ἐστιν ὅμοιον τῷ ὑπὲρ ἁπάντων ἐλευθερίας καὶ σωτηρίας κίνδυνον ἄρασθαι τὸ ἐν Μαραθῶνι προκινδυνεῦσαι. τὸ μὲν οὖν πρᾶγμα παράδειγμα ἐποίησεν, ἀντὶ δὲ τοῦ 15 εὐθέως εἰπεῖν ἐσχημάτισεν, πρός τε τὸ λαμπρὸν ἅμα καὶ τὸ ἀξιόπιστον εἰς ὅρκου φαντασίαν μεταβάλλων.

praeter fr. 94 p. 73, 4 ss et fr. 61 p. 43, 3—5 et fr. 61*a* p. 43, 21 cf. Quintil. IX 2, 62 (XI 3, 168). huius loci fontem Caecilium esse statuerunt C. a Morawski l. s. p. 46 (et 56), Martens l. s. p. 14 s, Coblentz l. s. p. 24 ss, Angermann l. s. p. 65, Reppe l. s. p. 49.

ad sententiarum figuras pertinent etiam fragmenta 67*a*, 20 — 67*c* et 71—71*b*.

B'. τὰ τῆς λέξεως σχήματα

61 (17 — p. 43, 3 = 37ᵃ B.) Tiberivs III p. 71, 5 Sp.: τὴν μέντοι ἐπανάληψιν παλιλλογίαν Κεκίλιος ὀνομάζει οἷον (Dem. XXV 58) 'μιαρόν, μιαρὸν τὸ θηρίον' καὶ

19 cf. fr. 61*a*, 15.

---

18 *Καικίλιος* Boissonade, *κἀκεῖνος* liber.

(idem XVIII 242) ʽπονηρόν, ⟨πονηρὸν⟩ ὁ cυκοφάντηcʼ καὶ (Soph. Oed. Col. 1457) ʽὦ τέκνα, τέκναʼ καὶ (id. Oed. R. 1403) ʽὦ γάμοι, γάμοιʼ. καὶ ὁ Δημοcθένηc (XVIII 208) ʽἀλλʼ οὐκ ἔcτιν, οὐκ ἔcτιν ὅπωc ἡμάρτετε τὸν ὑπὲρ τῆc ἐλευθερίαc κίνδυνον ἀράμενοιʼ. οἱ μὲν οὖν πολιτικοὶ κατʼ 5 ἀρχὰc χρῶνται ταῖc ἀναλήψεcι καὶ τῇ παλλιλογίᾳ, Ὅμηροc δὲ καὶ ἐπὶ τέλει ἐχρήcατο εἰπών (Υ 371—372)

τοῦ δʼ ἐγὼ ἀντίοc εἶμι, καὶ εἰ πυρὶ χεῖραc ἔοικεν,
εἰ πυρὶ χεῖραc ἔοικε, μένοc δʼ αἴθωνι cιδήρῳ.

ἐπήνεγκε γὰρ τοῦτο. 10

cf. Aquila Rom. p. 31, 12 H. (= Marcian. Cap. p. 481, 10 H.) et Beda Vener. de schem. p. 609, 27 H. 6 ss cf. Iul. Rufinianus p. 50, 1 H. 3—9 haec exempla etiam in fr. sequenti, 21 — p. 44, 2 inuenimus.

61a (= 37^b B.) Epitome Alexandri III p. 29, 5 Sp.: τοῦτο τὸ cχῆμα ὁ μὲν Κεκίλιοc παλιλλογίαν καλεῖ, ἔνιοι δὲ ἀναδίπλωcιν, οἱ δὲ ἐπανάληψιν, φαίνεται δὲ ὅτε μὲν ῥῆμα ἐπαλλήλωc ἐντιθέντων ἡμῶν, ὡc ἔχει τὸ τοιοῦτον (Dem. XXV 58) ʽμιαρόν, μιαρὸν θηρίον, ὦ ἄνδρεc 15 Ἀθηναῖοιʼ καὶ πάλιν ὡc Ξενοφῶν (Memor. I 2, 25) ʽὠγκωμένῳ ἐπὶ γένει, πεφυcημένῳ δʼ ἐπὶ πλούτῳ, διατεθρυμμένῳ δὲ ὑπὸ πολλῶν ἀνθρώπωνʼ.

cum his conferas:

Epitome Alexandri III p. 19, 32 Sp.: ἐπανάληψίc ἐcτιν, ὅταν κατὰ πλείουc φωνὰc ἐπανα|λαμβάνωμεν, ὡc ἔχει τὸ τοιοῦτον 20 Sp. (Demosth. XVIII 208) ʽἀλλʼ οὐκ ἔcτιν, οὐκ ἔcτιν ὅπωc ἡμάρτετεʼ, 21 καὶ τὸ Ὁμηρικόν (Υ 371—372)

3—5 et 21 idem exemplum in fr. 60 et fr. 94 p. 73, 13.

---

1 ⟨*πονηρὸν*⟩ add. Boissonade ex Dem. 12 *Καικίλιος* corr. Norrmann, *Καρκῖνος* libri. 14 ubi est *ὅτε δὲ ὄνομα* etc.? 16 *ὡς* — 18 *ἀνθρώπων* ‚aut corrupta aut falso huc delata sunt‘ Burckhardt.

τοῦ δ' ἐγὼ ἀντίος εἶμι, καὶ εἰ πυρὶ χεῖρας ἔοικεν,
εἰ πυρὶ χεῖρας ἔοικε.

61b Qvintil. IX 3, 44: *prioris etiam sententiae uerbum ultimum ac sequentis ⟨primum⟩ frequenter est idem, quo quidem* 5 *schemate utuntur poetae saepius.*

ad hoc fr. cf. fr. 61 p. 43, 6—9 et 61*a* p. 43, 22 — 44, 2. Quintiliani fontem Caecilium esse C. a Morawski l. s. p. 55 s ostendit.

62 Tiberivs III p. 72, 6 Sp.: κλῖμαξ δέ ἐστιν ὅταν, εἰς πολλὰ κῶλα ἑνὸς ἐνθυμήματος διαιρουμένου, ἕκαστον κῶλον ἄρχηται ἀπὸ τοῦ ἐν τῷ προηγουμένῳ κώλῳ τελευταίου. μετενήνεκται δὲ τὸ ὄνομα ἀπὸ τῶν ἀναβαινόντων τὰς κλίμακας· ὥσπερ γὰρ 10 ἐκείνοις τὰ τελευταῖα πρῶτα γίνεται κατὰ τὴν τῶν ποδῶν μετάθεσιν, οὕτω καὶ ἐν τῷ σχήματι τούτῳ τὰ τῶν πρώτων κώλων τελευταῖα τῶν ἐπιφερομένων ἀρχὴ γίνεται. σαφέστερον δ' ἔσται τοῖς παραδείγμασιν· 'οὐκ εἶπον μὲν ταῦτα, οὐκ ἔγραψα δέ· οὐδὲ ἔγραψα μέν, οὐκ ἐπρέσβευσα δέ· οὐδ' ἐπρέσβευσα μέν, οὐκ ἔπεισα 15 δὲ Θηβαίους' (Demosth. XVIII 179) καὶ τὸ (B 102—107)

Ἥφαιστος μὲν δῶκε Διῒ Κρονίωνι ἄνακτι,
αὐτὰρ ἄρα Ζεὺς δῶκε διακτόρῳ Ἀργεϊφόντῃ·
Ἑρμείας δὲ ἄναξ δῶκεν Πέλοπι πληξίππῳ,
αὐτὰρ ὁ αὖτε Πέλοψ δῶκ' Ἀτρέϊ ποιμένι λαῶν·
20 Ἀτρεὺς δὲ θνῄσκων ἔλιπεν πολύαρνι Θυέστῃ,
αὐτὰρ ὁ αὖτε Θυέστ' Ἀγαμέμνονι λεῖπε φορῆναι.

τινὲς δὲ νομίζουσι τοῦτο τὸ σχῆμα τὸ αὐτὸ εἶναι τῇ ἀναδιπλώσει, ἠγνοήκασι δὲ ὅτι ἡ μὲν ἀναδίπλωσις ἐν δύο κώλοις γίνεται, ἡ δὲ κλῖμαξ ἐν πολλοῖς, καὶ ὅτι πλήθους ἔμφασιν ἐργάζεται.

magna similitudo intercedit inter hunc locum et fr. 62*a* et fr. 62*b*. hos tres locos ex Caecilio depromptos esse C. a Morawski l. s. p. 54 et Martens l. s. p. 17, 1 et Barczat l. s. p. 39 iudicant.

---

4 primum *add. Badius.* 14 *οὐδ'* corr. Spengel ex Dem., *οὐκ* Tiberii codex.

62a Epitome Alexandri III p. 31, 10 Sp.: κλῖμαξ δὲ γίνεται, ὅταν ἐπὶ πλεῖον μηκύνοντες τὸ προκείμενον κεφάλαιον καθ' ἕκαστον κόμμα τὴν αὐτὴν λέξιν τελευτήν τε καὶ ἀρχὴν ποιήσωμεν, ὡς ἔχει τὸ Δημοσθενικόν (XVIII 179) 'καὶ οὐκ εἶπον μὲν ταῦτα, οὐκ ἔγραψα δέ· οὐδὲ ἔγραψα μέν, οὐκ ἐπρέσβευσα δέ· οὐδ' ἐπρέσβευσα μέν, οὐκ ἔπεισα δὲ Θηβαίους'. γίνεται δὲ καὶ κατὰ συνωνυμίαν κλῖμαξ, ὡς ἔχει τὸ Ὁμηρικόν (Β 102—105)

Ἥφαιστος μὲν δῶκε Διῒ Κρονίωνι ἄνακτι,
αὐτὰρ ἄρα Ζεὺς δῶκε διακτόρῳ Ἀργεϊφόντῃ·
Ἑρμείας δὲ ἄναξ δῶκεν Πέλοπι πληξίππῳ,
αὐτὰρ ὁ αὖτε Πέλοψ δῶκ' Ἀτρέϊ ποιμένι λαῶν.

καὶ γὰρ Κρονίων καὶ Ζεὺς συνώνυμά πώς ἐστι, καὶ τὸ Ἀργειφόντης καὶ Ἑρμῆς. εἴληφε δὲ τὸ σχῆμα τὸ ὄνομα ἀπὸ τῆς κλίμακος· καὶ γὰρ ἐν ταύτῃ, ἐφ' ὃν λήγομεν βαθμόν, ἀπ' ἐκείνου πάλιν ἀρχόμεθα.

ad hoc fr. et fr. sequens cf. praeter locos ad fr. 62 laudatos Angermannvm l. s. p. 36, 3.

62b Qvintil. IX 3, 54: *gradatio, quae dicitur* κλῖμαξ, *apertiorem habet artem et magis adfectatam, ideoque esse rarior debet.* (55) *est autem ipsa quoque adiectionis: repetit enim quae dicta sunt, et priusquam ad aliud descendat, in prioribus resistit: cuius exemplum ex Graeco notissimo transferatur* (Dem. XVIII 179)*: 'non enim dixi quidem, sed non ⟨scripsi, nec scripsi quidem, sed non⟩ obii legationem, ⟨nec obii quidem legationem,⟩ sed non persuasi Thebanis'.* . . . . (57) *inuenitur apud poetas quoque, ut apud Homerum* (Β 102—107) *de sceptro, quod a Ioue ad Agamemnonem usque deducit,* etc.

63 Tiberivs III p. 72, 27 Sp.: ἐπαναφορὰ δέ ἐστιν, ὅταν δύο καὶ πλειόνων κώλων κόμματα ἀπὸ τῆς αὐτῆς λέξεως ἄρχηται, οἷον (Demosth. XXI 72) 'ὅταν ἐπὶ κόρρης, ὅταν κονδύλοις' καὶ

28 ss de hoc exemplo u. fr. 16 adn. et fr. 71*b* adn.

5 *οὐδ'*] *οὐκ* libri; cf. p. 44, 14. 21 scripsi — 22 non *add. editores.* 22 nec — legationem *add. editores.* 26. 27 *δύο ἢ πλείω κῶλα ἢ κόμματα* Finckh.

πάλιν (XVIII 48) 'μέχρι τούτου Τιμόλαος, ⟨ἕως⟩ ἀπώλεσε Θήβας·
73 Sp. μέχρι τούτου Εὔδικος καὶ Σιμὸς οἱ Λαρισσαῖοι'. | ἐνάργειαν τὸ
σχῆμα καὶ λαμπρότητα ἐργάζεται. κἀκεῖνο ἐπαναφορά (Demosth.
XVIII 121) 'τί οὖν, ὦ ταλαίπωρε, συκοφαντεῖς; τί λόγους πλάτ-
5 τεις; τί σαυτὸν οὐκ ἐλλεβορίζεις ἐπὶ τούτοις;'

similia Alexander (fr. 63 *a*) exhibet. Caecilium fontem esse MARTENS l. s. p. 16, 2 et COBLENTZ l. s. p. 19 statuerunt.

63a EPITOME ALEXANDRI III p. 20, 30 Sp.: ἐπαναφορά ἐστιν,
ὅταν ἀπὸ τοῦ αὐτοῦ ὀνόματος δύο ἢ πλείω κῶλα ἄρχηται, ὥσπερ
21 Sp. τῷ Δημοσθένει 'ταῦτ' εἶπον ὑπὲρ ὑμῶν, ταῦτ' ἐπρέσβευσα, | ταῦτ'
ἐδεήθην', ἢ ὅταν ἐπὶ πολὺ τὸ ὄνομα ἐν ἀρχῇ τῶν κώλων καὶ
10 τῶν περιόδων πολλάκις παραλαμβάνηται, [καὶ] ἢ αὐτὸ ἢ τὸ ἰσο-
δυναμοῦν αὐτῷ [ὀνομάζει]. καὶ αὐτὸ μὲν ὡς τὸ Δημοσθενικόν
(XVIII 121) 'τί οὖν, ὦ ταλαίπωρε, συκοφαντεῖς; τί λόγους πλάτ-
τεις; τί σαυτὸν οὐκ ἐλλεβορίζεις;' καὶ ὡς τὸ Ὁμηρικόν (B 671—672)

Νιρεὺς αὖ Σύμηθεν ἄγεν,
15 Νιρεὺς Ἀγλαΐας υἱός.

τὸ δ' ἰσοδυναμοῦν οὕτως, ὡς εἴ τις λέγοι 'ἐπέδωκα τῇ πόλει
χρήματα, παρέσχον συμμάχους, ἐχαρισάμην ὅπλα', καὶ ὡς (Aeschin.
III 257 s) '* αὐτοῦ τῶν δωροδοκημάτων παρακαλῇ, ὑπολαμβάνετε
καθορᾶν ἐπὶ τοῦ βήματος ἀντιπαρατεταγμένους, Σόλωνα μὲν τὸν
20 καλλίστοις νόμοις κοσμήσαντα τὴν δημοκρατίαν, Ἀριστείδην δὲ
τὸν τοὺς φόρους τάξαντα τοῖς Ἕλλησιν, ἐπερωτῶντα, εἰ οὐκ
αἰσχύνεσθε, εἰ οἱ πατέρες ὑμῶν Ἀρίθμιον τὸν Ζελείτην' καὶ τὰ ἑξῆς.

13—15 cf. Demetrius de eloc. 61 et Aristot. rhet. III 12 p. 1414ᵃ 2 ss (et fr. 10 p. 8, 24).

64 (= 39 B.) QVINTIL. IX 3, 46: hoc Caecilio pleonasmus uidetur, id est abundans super ne-
25 cessitatem oratio, sicut illa (Aen. XII 638):

---

1 ἕως add. ex Dem. Boissonade. 2 ἐνάργειαν] ἐνέργειαν libri, sed cf. fr. 16. 7 ὀνόματος Spengel, κόμματος libri. 10 καὶ et ὀνομάζει damn. Spengel. 15 post υἱός in libris ab alio haec uerba addita sunt: τὸ δ' ἰσοδυναμοῦν οὕτως (Soph. El. 303) 'ὁ πάντ' ἄναλκις οὗτος, ἡ πᾶσα βλάβη'· ἐνταῦθα γάρ τό τε ἀρσενικὸν ἄρθρον καὶ τὸ θηλυκὸν ἴσον ὡς πρὸς τὸ πρᾶγμα δύναται.

uidi oculos ante ipse meos.
in illo enim 'uidi' inest 'ipse'. uerum id, ut alio quoque loco dixi, cum superuacua oneratur adiectione, uitium est, cum auget aut manifestat sententiam, sicut hic, uirtus: 'uidi, ipse, ante oculos' totidem sunt adfectus. (47) cur tamen haec proprie nomine tali notarit, non uideo: nam et geminatio et repetitio et qualiscumque adiectio pleonasmus uideri potest.

ad hoc fr. cf. fr. sequens 10—11; Aquila Rom. p. 36, 25 H. et Carmen de figuris p. 70, 178 H., in quo inter schemata lexeos sequitur *περίφρασις* (u. fr. 66).

65 (u. 12—14 = 38[a] B.) TIBERIVS III p. 75, 13 Sp.: πλεοναςμὸς δέ ἐςτι 'τί δεῖ πράττειν καὶ ποιεῖν τὴν πόλιν' (Demosth. XVIII 62). ἐνάργειαν τὸ σχῆμα ἔχει ἐν τῷ πυςματικῷ τιθεμένην. ςυνωνυμίαν ὀνομάζει τὸ σχῆμα Κεκίλιος, ὅταν κατὰ τοῦ αὐτοῦ πράγματος ἢ κατὰ τοῦ * προκειμένου δύο λέξεις γενηθῶςι.

10—11 cf. fr. 64. 10—12 uide fr. 59 p. 38, 18 s et fr. 59 *b* p. 41, 15 s.
in synonymiae figura tractanda Alexandrum quoque (fr. 65 *a*) ex Caecilio pendere BVRCKHARDT l. s. p. 42 et C. A MORAWSKI l. s. p. 47 s coniecerunt.

65a (= 38[b] B.) EPITOME ALEXANDRI p. 30, 14 Sp.: ςυνωνυμία δέ ἐςτιν, ὅταν τῷ χαρακτῆρι διαφόροις ὀνόμαςι, τῇ δυνάμει δὲ τὸ αὐτὸ δηλοῦςι· χρώμεθα πλείοςιν, ἓν μὲν καὶ τὸ αὐτὸ βουλόμενοι δηλοῦν, ὡς καὶ Δημοςθένης (XI 3) 'καὶ γινώςκεται μὲν ὑπὸ τῶν Περινθίων καὶ Βυζαντίων, οὐκ ἀγνοεῖται δὲ ὑπὸ Θετταλῶν δεςπόζειν, ἀλλ' οὐχ ἡγεῖςθαι τῶν ςυμμάχων προαιρούμενος, ὑποπτεύεται δὲ ὑπὸ Θηβαίων'.

---

5 uidet A[1]G. 11 *ἐνέργειαν* liber, em. Radermacher conlato fr. 59, 15. 13 *κἀκεῖνος* liber, *Καικίλιος* corr. Boissonade. *ἢ* liber, *ὡς* Finckh. 14 defectum indicaui, fortasse *τοῦ* ⟨*αὐτοῦ ὀνόματος*⟩ *προκειμένου* legendum est.

66 (u. 1—4 = 40 B.) Qvintil. IX 3, 98: *adicit his Caecilius* περίφραϲιν, *de qua dixi* (= VIII 6, 59; IX 1, 3).
idem VIII 6, 59: *pluribus autem uerbis cum id, quod uno aut paucioribus certe dici potest, explicatur,* περίφραϲιν *uocant,*
5 *circuitum quendam eloquendi* . . . (60) *interim ornatum petit solum, qui est apud poetas frequentissimus.* . . (61) *et apud oratores non rarus, semper tamen adstrictior.*
idem IX 1, 3: περίφραϲιν *autem et* ὑπερβατόν *et* ὀνοματοποιίαν *clari quoque auctores figuras uerborum potius quam*
10 *tropos dixerint.*

ad hos locos cf. fr. 66*a* et 66*b*. ad u. 8—10 uide fr. 67 et 67*a*, 19 s. cf. etiam Carmen de figuris p. 70, 181 H.

66 a Tiberivs III p. 75, 26 Sp.: περίφραϲιϲ δ' ἔϲτιν ὅταν τῆϲ ἁπλῆϲ καὶ εὐθείαϲ γινομένηϲ ἑρμηνείαϲ εὐτελοῦϲ οὔϲηϲ, μεταβαλόντεϲ κόϲμου ἕνεκα ἢ πάθουϲ ἢ μεγαλοπρεπείαϲ ἄλλοιϲ ὀνόμαϲι καὶ πλείοϲι τῶν κυρίων καὶ ἀναγκαίων τὸ πρᾶγμα ἑρμηνεύϲωμεν,
15 οἷόν ἐϲτι τὸ Δημοϲθενικόν (XXI 99) 'ἠτίμωται τῇ ῥύμῃ τῆϲ ὀργῆϲ
76 Sp. ⟨καὶ τῆϲ ὕβρεωϲ⟩ τῆϲ Μειδίου'. τὸ γὰρ ἁπλοῦν ἦν | 'ἠτίμωται ὑπὸ Μειδίου', τὸ δὲ 'τῇ ῥύμῃ τῆϲ ὀργῆϲ καὶ τῆϲ ὕβρεωϲ' παρείληπται πάθουϲ ἕνεκα καὶ ἀξιώματοϲ. ταῖϲ δὲ περιφράϲεϲι ϲπανίωϲ χρῶνται οἱ πολιτικοί, πλεονάζει δὲ ἐν αὐταῖϲ ὁ Θουκυδίδηϲ καὶ ὁ
20 Πλάτων καὶ οἱ ποιηταί, οἷον παρὰ μὲν Ὁμήρῳ (Λ 690) 'βίη Ἡρακλείη' ἀντὶ τοῦ Ἡρακλέοϲ, καὶ (β 409) 'ἱερὴ ἲϲ Τηλεμάχοιο' ἀντὶ τοῦ Τηλέμαχοϲ· παρὰ δὲ Πλάτωνι 'ὦ παῖ Κλεινίου' ἀντὶ τοῦ Ἀλκιβιάδη· παρὰ δὲ Θουκυδίδῃ (cf. II 75, 3) 'καὶ οἱ μὲν ὕπνον ᾑροῦντο' ἀντὶ τοῦ ἐκάθευδον· παρὰ δὲ Ἡροδότῳ (I 105) 'ἐνέϲκηψεν
25 ἡ θεὸϲ θήλειαν νόϲον' ἀντὶ τοῦ ἐποίηϲεν ἀνδρογύνουϲ ἢ καταεαγότας.

24 s idem exemplum ad eandem figuram illustrandam uide fr. 94 p. 82, 14.
hoc fr. et fr. 66*b* Caecilii sententias continere C. a Morawski l. s. p. 48 s, (p. 52), p. 56 adn. 58, Martens l. s. p. 18, 2, Coblentz l. s. p. 33 s, Barczat l. s. p. 38 contenderunt.

---

16 *καὶ τῆς ὕβρεως τῆς* ex Dem., *τῇ* Tib. liber; cf. u. 17.

66 b Epitome Alexandri III p. 32, 6 Sp.: ἡ δὲ περίφραϲιϲ ἴδιόν μοι δοκεῖ ϲχῆμα εἶναι τῆϲ ποιήϲεωϲ· πολλὰ γὰρ τὰ περιπεφραγμένα παρ' ἐκείνοιϲ, οἷον (Λ 690) 'βίη Ἡρακληείη' καὶ (η 167 et al.) 'μένοϲ Ἀλκινόοιο'· οὐ μὴν ἀλλὰ τὸ ϲχῆμά ἐϲτι τοῦτο εὑρεῖν καὶ παρὰ Δημοϲθένει (XXI 99) 'ἀλλ' ἁπλῶϲ οὕτωϲ ἠτίμωται τῇ ῥύμῃ 5 τῆϲ ὀργῆϲ καὶ τῆϲ ὕβρεωϲ τῆϲ Μειδίου', γέγονε δὲ ὁ λόγοϲ καὶ ὑψηλότεροϲ καὶ πλείονα ἔμφαϲιν ἔχων κατὰ τὴν περίφραϲιν, ἢ εἰ οὕτω ῥηθείη 'ἠτίμωται ὑπὸ Μειδίου'. καὶ ὡϲ τὰ Ξενοφῶντοϲ ἔχει 'ἔννοιά ποθ' ἡμῖν ἐγένετο' ἀντὶ τοῦ ἐνενοήϲαμεν, καὶ ὡϲ παρὰ Θουκυδίδῃ (I 68, 2) 'οὐ περὶ ὧν ἐδιδάϲκομεν ἑκάϲτοτε τὴν 10 μάθηϲιν ἐποιεῖϲθε' ἀντὶ τοῦ ἐμανθάνετε· πολὺ δὲ τὸ ϲχῆμα παρὰ τῷ ἀνδρὶ τούτῳ.

67 (= 36 B.) Qvintil. IX 3, 91: *uerborum autem concinna transgressio, hyperbaton est, quod* Caecilius *quoque putat schema, a nobis est inter ⟨tropos⟩ posita.* 15

hic locus referendus est ad fr. 66, 8—10 et ad fr. 67*a*, 19 s, quae artissime inter se cohaerent.

67 a Qvintil. IX 3, 23: unum, quod interpositionem uel interclusionem dicimus, Graeci *παρένθεσιν, παρέμπτωσιν* uocant, cum continuationi sermonis medius aliqui sensus interuenit ... cui adiciunt hyperbaton, quod inter tropos esse noluerunt. (24) alterum, quod est 20 ei figurae sententiarum, quae *ἀποστροφή* dicitur, simile, sed non sensum mutat, uerum formam eloquendi *etc.*

16—19 cf. fr. 76 et 76*a*, ubi de figura *παρεμβολῆς* disputatur, quae etiam *παρένθεσις* siue *παρέμπτωσις* nominari potest. ad u. 19 s cf. fr. 66, 8—10 et fr. 67. 20—23 figuram *ἀποστροφῆς* fr. 67*b* et 67*c* fusius describunt. 16—19 Caecilii esse conexus docet (cf. C. a Morawski l. s. p. 53 et 55). u. 20—23 quoque C. a Morawski l. s. p. 57 s et Reppe l. s. p. 53 Caecilio adscripserunt.

---

15 tropos *add. Burman.* 18 cum *Meister,* duo A[1]G, dum A[2].

67b Tiberius III p. 61, 29 Sp.: ἀποστροφὴ δέ ἐστιν ὅταν ἀπὸ τῶν δικαστῶν πρὸς τὸν ἀντίδικον ἀποστρέφῃ τὸν λόγον,
62 Sp. οἷον (Demosth. XX 144) 'μηδὲν οὖν | φιλονείκει, Λεπτίνη' καὶ πάλιν (id. XVIII 208) 'οὓς ἅπαντας ἡ πόλις ὁμοίως τῆς αὐτῆς
5 ἀξιώσασα τιμῆς ἔθαψεν, Αἰσχίνη'. κινήσας γὰρ τῇ δόξῃ τῶν παραδειγμάτων τοὺς ἀκούοντας, τότε καὶ τὸν ἀντίδικον κέκληκε.

hoc fragmentum et fr. 67*c* referenda sunt ad fr. 67*a*, 20—23. 1 s simile aliquid Caecilius fr. 75 p. 57, 15—17 profert. 1 s et fr. 67*c*, 7 s et Aquilae Romani (siue Alexandri Numenii) doctrina (p. 25, 3 H.: ἀποστροφή, . . . *sic plerumque conuertimus orationem in reum ab iudice* etc.) bene congruunt. 4 s idem exemplum u. fr. 94 p. 74, 21 s. 5 *κινήσας* ∾ fr. 67 *c*, 8 *mouet*. copiosius de fr. 67*b* et 67*c* Reppe l. s. p. 52—54 egit, idem uir doctus Caecilium auctorem designauit.

67c Qvintil. IX 2, 38: *auersus quoque a iudice sermo, qui dicitur* ἀποστροφή, *mire mouet, siue aduersarios inuadimus . . siue ad inuocationem aliquam conuertimur . . siue ad in-*
10 *uidiosam inplorationem* etc.

cf. adn. ad fr. 67*b*. ad fragmenta 67*b* et 67*c* fortasse etiam haec Phoebammonis disputatio de eadem figura comparari potest:

Phoebammon III p. 49, 29 Sp.: ἀποστροφὴ δὲ προσώπου ἐστὶ μετάβασις λόγου πρὸς πρόσωπον, ᾧ πρότερον οὐ διελεγόμεθα, ὡς ἵνα δικαζόμενος καὶ πρὸς τὸν ἄρχοντα λέγων τὸ πρᾶγμα
50 Sp. στρα|φῶ πρὸς τὸν ἀντίδικον καὶ ἐρωτήσω 'οὐκ ἀληθῆ ταῦτα
15 ἃ λέγω';

Caecilius, ut ex locis significatis apparet, figuram *ἀποστροφῆς* et orationis (fr. 67*a*, 20—23; fr. 75 p. 57, 15—17) et sententiarum (uide ceteros locos) figuris uidetur adscripsisse.

---

8 inuadimus *ed. Gryphii*, inuasimus *libri*. 12 *διελεγόμεθα* scripsi, *διαλεγόμεθα* libri.

68 Epitome Alexandri III p. 34, 23 Sp.: πολύπτωτόν ἐςτιν, ὅταν ἢ τὰς ἀντωνυμίας ἢ τὰ ὀνόματα ταῖς πλείοςι πτώςεςι καὶ πάςας μεταλαμβάνοντες πλέκωμεν τὸν λόγον, ὡς ἔχει τὸ Ξενοφῶντος (Cyrop. VIII 2, 8) 'τίνι μὲν γὰρ φίλοι πλείους ἢ τῷ Περςῶν βαςιλεῖ; τίς δὲ κοςμῶν φαίνεται ἀεὶ τοὺς περὶ αὐτὸν μᾶλλον 5 ἢ ὁ βαςιλεύς; τίνος δὲ δῶρα γινώςκεται μᾶλλον ἢ τὰ βαςιλέως;' καὶ τὸ Δημοςθενικόν (XIX 298) 'οὗτοι γὰρ κατέχουςι, τούτοις πείθεςθε ὑμεῖς, ὑπὸ τούτων δέος ἐςτὶ μὴ παρακρου|ςθῆτε'. ⟨καὶ 35 Sp. τό⟩ (id. XVIII 282) 'καίτοι τίς ἦν ὁ τὴν πόλιν ἐξαπατῶν; οὐχ ὁ μὴ λέγων ἃ φρονεῖ; τῷ δὲ ὁ κῆρυξ καταρᾶται δικαίως; οὐ τῷ 10 τοιούτῳ;'

cf. fr. 69, 13 s. Alexandri (et Quintiliani quoque) auctorem Caecilium esse C. a Morawski l. s. p. 52 s (et p. 55) et Martens l. s. p. 17, 1 affirmauerunt. haec figura arte cohaeret cum figura *μεταβολῆς*, quae nobis occurrit in fr. sequenti.

69 (u. 15—16 = 35, 1—2 B.) Qvintil. IX 3, 37: fit casibus modo hoc schema, quod *πολύπτωτον* uocant. constat [et] aliis etiam modis, ut pro Cluentio (60, 167) ... (38) hanc rerum coniunctam 15 diuersitatem Caecilius *μεταβολήν* uocat *etc.*

13 s cf. fr. 68.
plura de figura *μεταβολῆς* exhibent Tiberius (u. fr. 69 *a*) et Alexander (u. fr. 69 *b*).

69a Tiberivs III p. 76, 30 Sp.: μεταβολὴ δ' ἔςτιν ὅταν μὴ τὰς πτώςεις μόνον ἀλλὰ καὶ τὰ ῥήματα μεταβάλλῃ, οἷον (Demosth. XVIII 311) 'τίς γὰρ ςυμμαχία | ςοῦ πράξαντος γέγονε τῇ πόλει; 77 Sp. ποῖαι τριήρεις; ποῖοι νεώςοικοι; τίς ἐπιςκευὴ τειχῶν; ποῖον ἱππικόν;' καὶ τοῦτο δὲ ὁμοίως γοργὸν καὶ εὐειδὲς τὸ ςχῆμα. 20

hic locus pertinet ad fr. 69, 15—16. eodem exemplo atque Tiberius Alexander disputationem suam illustrat (u. fr. 69 *b*).

---

2. 3 *εἰς τὰς πλείους πτώσεις ἢ καὶ πάσας* coni. Finckh.
8. 9 *καὶ τό* Spengel addere uult.

quae uterque disserit, ad Caecilium fontem C. a Morawski l. s. p. 52 s, Martens l. s. p. 17, 1, Coblentz l. s. p. 31 s rettulerunt.

69 b Epitome Alexandri III p. 35, 4 Sp.: περὶ μεταβολῆς· ἐπὶ τούτου τοῦ σχήματος μετάθεσις μορίων ὅλων γίνεται καὶ καθ' ἕκαστον κῶλον ἢ κόμμα, ὡς ἔχει τὸ Δημοσθενικόν (XVIII 311) 'τίς γὰρ συμμαχία σοῦ πράξαντος γέγονε τῇ πόλει; τίς δὲ βοή-
5 θεια ἐκ τῆς σῆς εὐνοίας καὶ δόξης; τίς δὲ πρεσβεία, τίς δὲ διακονία, δι' ἣν ἡ πόλις ἐνδοξοτέρα; τί τῶν Ἑλληνικῶν ἢ τί τῶν οἰκείων ἁπλῶς ἐπηνώρθωται διὰ σέ; ποῖαι τριήρεις; ποῖα βέλη; ποῖοι νεώσοικοι; τίς ἐπισκευὴ τειχῶν; ἢ ποῖον ἱππικόν; ἢ τῶν ἁπάντων τί χρήσιμον, ἢ τοῖς ἀπόροις πολιτικὴ βοήθεια, ἢ χρη-
10 μάτων εὐπορία;'

70 Tiberivs III p. 77, 27 Sp.: ἀσύνδετον δέ ἐστιν, ᾧ πολλαχοῦ χρῆται ὁ Δημοσθένης, κατ' ὄνομα καὶ κατὰ κῶλον ⟨καὶ κατὰ κόμμα⟩ καὶ ἐν τόπῳ. κατ' ὄνομα μέν (Demosth. XVIII 69) 'Ἀμφίπολιν, Πύδναν, Ποτίδαιαν, Ἀλόννησον'· ἐξ ὧν πλήθους ἔμφασις
15 γίνεται. κατὰ κῶλον ⟨δέ⟩ (Dem. XXI 71) 'ἴσασιν Εὐαίωνα πολ-
78 Sp. λοὶ τὸν Λαοδάμαν|τος ἀδελφόν'· εὐειδὲς τὸ τοιοῦτο. κατὰ κόμμα δέ (Dem. XXI 72) 'ὅταν ἐπὶ κόρρης, ὅταν κονδύλοις. ταῦτα κινεῖ, ταῦτα ἐξίστησι'· ταῦτα δείνωσιν ἔχει καὶ ἐνάργειαν. καὶ τοῦτο ἀσυνδέτως (Dem. IX 68) 'πολλὰ ἂν εἰπεῖν ἔχοιεν Ὀλύνθιοι, ἃ
20 τότε εἰ προείδοντο, οὐκ ἂν ἀπώλοντο· πολλὰ ἂν Ὠρεῖται, πολλὰ Φωκεῖς'. καὶ πάλιν προθεὶς (ibid. 69) 'ἀλλὰ τί τοῦτο ὄφελος τῇ πόλει;' [πάλιν] ἐπήγαγεν εἰς τὸ ἀσύνδετον 'ἕως ἂν σώζηται τὸ σκάφος, τότε χρὴ καὶ ναύτην καὶ κυβερνήτην καὶ πάντα ἄνδρα ἐφεξῆς προθύμους εἶναι'. λαμπρότητα δὲ καὶ φαντασίαν
25 τοῦτο τὸ σχῆμα παρέχεται ἄνευ συνδέσμων ἐλευθέρᾳ φωνῇ τοῦ λόγου προϊόντος ταῖς τῶν τόπων ἐμβολαῖς. τῷ σχήματι κέχρηται

13 s cf. fr. 59 p. 38, 23. 17 s ad hoc exemplum uide fr. 16 adn. et fr. 71 *b* adn.

---

5 *ἐκ τῆς σῆς*] *ἡ κτῆσις* Dem. codd. 7 *ἐπηνόρθωται* libri, corr. Spengel ex Dem. 12. 13 *καὶ κατὰ κόμμα* suppl. Finckh. 15 *δέ* add. Spengel. 18 et p. 53, 2 *ἐνάργειαν*] *ἐνέργειαν* libri, sed cf. fr. 16. 22 *πάλιν* secl. idem.

ἢ κατ' ὄνομα εἰς πλῆθος, ἢ κατὰ κῶλον εἰς κάλλος, ἢ κατὰ κόμμα εἰς ἐνάργειαν, ἢ κατὰ τόπους εἰς λαμπρότητα. κἀκεῖνο ἀσύνδετον (Dem. XVIII 67) 'ὁρῶ δὲ αὐτὸν τὸν Φίλιππον, πρὸς ὃν ἡμῖν ὁ ἀγών, τὸν ὀφθαλμὸν ἐκκεκομμένον, τὴν δὲ κλεῖν κατεαγότα, τὴν δὲ χεῖρα καὶ τὸ σκέλος πεπηρωμένον'. 5

3—5 idem exemplum fr. 4 p. 4, 31—33.
similia atque Tiberius Alexander habet (uide fr. 70 *a*). utrumque Caecilio sua debere C. a Morawski l. s. p. 36 et 46 et 48, Martens l. s. p. 16, 2, Coblentz l. c. p. 19, Barczat l. l. p. 39, Angermann l. c. p. 36 et 65 obseruauerunt.

70a Epitome Alexandri III p. 32, 29 Sp.: περὶ ἀσυνδέτου ἢ 33 Sp. διαλύσεως· κατὰ τοῦτο τὸ σχῆμα τοὺς συνδέσμους αἴροντες | τοὺς ὀφείλοντας τὰ κῶλα συνάπτειν οὕτω φαμὲν τὸν λόγον, ὡς ἔχει τὰ τοιαῦτα (Dem. XVIII 65) 'εἰ δ' ὁμοίως ἁπάντων τὸ ἀξίωμα, 10 τὴν ἡγεμονίαν παρείλετο' καὶ πάλιν (ibid. 69) ''Αμφίπολιν, Πύδναν, Ποτίδειαν, 'Αλόννησον· οὐδενὸς τούτων μέμνημαι'.

71 (= 29 B.) Tiberivs III p. 79, 15 Sp.: τὴν δὲ διατύπωσιν παρῆκεν 'Αψίνης, Κεκίλιος δὲ ἔθηκεν ἐν τοῖς τῆς διανοίας σχήμασιν. ἡ δὲ διατύπωσις ὅτε μὲν 15 ὑπομιμνήσκει τῶν γεγενημένων ἐνεργειῶν καὶ ἑκάστων ἐξαριθμουμένων τῶν μερῶν· 'ἀλλὰ μὴν τὸν τῇ πόλει συσταθέντα τότε θόρυβον ἴστε μὲν ἅπαντες, μικρὰ δὲ ἀκούσατέ μου τὰ ἀναγκαιότατα. ἑσπέρα μὲν γὰρ ἤδη' καὶ τὰ ἑξῆς (Dem. XVIII 168 s). καὶ πάλιν ἡ διατύπωσις 20 ἐπὶ τὴν θέαν ἄγει τῶν οὐχ ἑωραμένων, ὡς παρ' Αἰσχίνῃ πολλὰ ἂν εὕροι τις. τρίτος ὅρος διατυπώσεως, ὅταν τὰ μὴ γεγονότα διατυπούμενοι εἰσάγωμεν καθ' ὑπόθεσιν, οἷον τί ἂν ἐγένετο, καὶ τί ἂν ἐπράχθη, ὡς δεινὰ καὶ φοβερά.

14 s et 19 cf. fr. 4 p. 5, 6 s et 11 s. 20—22 cf. fr. 128, 16 ss.
quae Caecilius hic dicit, ea apud Quintilianum (u. fr. 71 *a*) recurrunt; cf. 15—17 ∼ fr. 71 *a*, 2—4, 20—21 ∼ fr. 71 *a*, 5—7,

22—24 ∾ fr. 71*a*, 7—8. itaque Quintilianum quoque ad Caecilium respexisse Martens l. s. p. 16, 2, Coblentz l. s. p. 20, Reppe l. s. p. 50 s statuerunt.

71a Qvintil. IX 2, 40: *illa uero, ut ait Cicero* (de orat. III 53, 202), *'sub oculos subiectio' tum fieri solet, cum res non gesta indicatur, sed ut sit gesta ostenditur, nec uniuersa, sed per partes . . Celsus* (fr. 17 Woehrer) *hoc nomen isti figurae de-*
5 *dit, ab aliis* ὑποτύπωϲιϲ *dicitur proposita quaedam forma rerum ita expressa uerbis, ut cerni potius uideantur quam audiri . . .* (41) *nec solum, quae facta sint aut fiant, sed etiam quae futura sint aut futura fuerint, imaginamur. . . . .* (43) *. . habet haec figura (translatio temporum) manifestius ali-*
10 *quid: non enim narrari res, sed agi uidetur.* (44) *locorum quoque dilucida et significans descriptio eidem uirtuti adsignatur a quibusdam, alii* τοπογραφίαν *dicunt.*

1—8 cf. fr. 71. 6 s cf. fr. 94 p. 80, 5 s. 9 s cf. fr. 94 p. 79, 21 s. 10—12 cf. fr. 94 p. 80, 1 ss.

de hoc fr. uide imprimis ea, quae Reppe l. s. p. 50 s explicauit.

71b Scholion Demosth. or. XXI 72 p. 573, 7 Dind.: πολλὰ γὰρ ποιήϲειεν ὁ τύπτων] διατυπώϲει κέχρηται. ἴδιον δὲ μάλιϲτα τῆϲ
15 πηλικότητοϲ ἡ διατύπωϲιϲ, ἐπειδὴ ὑπ' ὄψιν ἄγουϲα τὰ πράγματα πλείω ποιεῖ τὴν αὔξηϲιν. ἔχει δὲ ϲυγγένειαν πλείϲτην πρόϲ τε ἔκφραϲιν καὶ διήγηϲιν. ἐν ἅπαϲι γὰρ τούτοιϲ ἔκθεϲίϲ ἐϲτι πραγμάτων γεγονότων, ἀλλὰ τὸ μὲν διήγημα ἁπλῆν καὶ ἀκατάϲκευον ἔχει τὴν ἔκθεϲιν, ἡ δὲ διατύπωϲιϲ τὸ πᾶν ἐν αὐξήϲει καὶ ἐναργείᾳ
20 κεῖται. καὶ αὖ τὸ μὲν διήγημα κατ' ἀκολουθίαν πρόειϲι τοῖϲ

13 s hic locus ex Demosthene allatus saepius a Caecilio ad figuras illustrandas in usum uocatur (cf. fr. 16, 1 s, fr. 63 p. 45, 28, fr. 70 p. 52, 17 s, fr. 94 p. 75, 26 ss et p. 76, 5—13).

---

6 uideatur *libri, corr. Obrecht.* 11 eidem *Regius,* eiusdem BnBg, huic A.

συνδέσμοις ἑνούμενον, ἡ δὲ διατύπωσις κομματική ἐστι καὶ ἀπόλυτος, δι' ἐξαλλαγῆς σχημάτων προϊοῦσα.

ad haec adhibe, quae secuntur:

Scholion Demosth. or. XIX p. 372, 5 Dind.: διατύπωσις τὸ σχῆμα, ὅταν ὥσπερ διατυποῖ καὶ εἰς ὄψιν ἄγῃ τὰ πράγματα διὰ τῶν λόγων. διαφέρει δὲ ἡ διατύπωσις τῆς ἐκφράσεως τῷ τὴν 5 μὲν διατύπωσιν διὰ πάθος τι λέγεσθαι, τὴν δὲ ἔκφρασιν ὥσπερ διήγημά τι εἶναι.

in priore scholio Martens l. s. p. 16, 2 (Coblentz l. s. p. 19, Reppe l. s. p. 50) Caecilii uestigia agnoscebant.

72 (= 30 B.) Tiberius III p. 79, 27 Sp.: τὸ δὲ διασυρμοῦ σχῆμα παρῆκεν Ἀψίνης, Κεκίλιος δὲ αὐτὸ ἐνέθηκε. τοῦτο δέ ἐστι ⟨τὸ⟩ τὰ μεγάλα μικρὰ ποιῆσαι καὶ 10 ἐξευτελίσαι, οἷον (Dem. XVIII 28) 'ἀλλ' ἐν τοῖν δυοῖν ὀβολοῖν ἐθεώρουν ἂν εἰ μὴ τοῦτο ἐγράφη'. καὶ (ibid. 232) 'πάνυ γε· οὐ γὰρ παρὰ τοῦτο εὐχερῆ γέ|γονε τὰ τῶν 80 Sp. Ἑλλήνων πράγματα, εἰ τουτὶ τὸ ῥῆμα ἀλλὰ μὴ τοῦτο διελέχθην ἐγώ, ἢ δευρὶ τὴν χεῖρα ἀλλὰ μὴ δευρὶ παρ- 15 ήνεγκα'.

exemplum, quod Tiberius u. 13—16 laudat, apud Alexandrum quoque (fr. 72 *a* p. 56, 5—7) inuenimus.

72a Epitome Alexandri III p. 26, 5 Sp.: διασυρμὸς δ' ἐστίν, ἐπειδὰν λέγωμεν ἀξιοπίστως διασύροντες, ὡς Ὑπερίδης Ἐπὶ Δημοσθένους (I fr. II = p. 3[b] Bl.[3]) 'καὶ συκοφαντεῖς τὴν βουλήν, προκλήσεις προτιθεὶς καὶ ἐρωτῶν ἐν ταῖς προκλήσεσιν, πόθεν ἔλα- 20 βες τὸ χρυσίον, καὶ τίς ἦν σοι ὁ δούς, καὶ πῶς; τελευταῖον δ' ἴσως ἐρωτήσεις καὶ εἰ ἐχρήσω τῷ χρυσίῳ, ὥσπερ τραπεζιτικὸν λόγον παρὰ τῆς βουλῆς ἀπαιτῶν', καὶ ὁ αὐτὸς Ἐπὶ τῆς Φρύνης (fr. 173 Bl.[3]) 'τίς γάρ ἐστιν αἰτία αὕτη, εἰ Ταντάλῳ ὑπὲρ τῆς κε-

---

4 *ἄγῃ* corr. Aldus, libri aut *ἄγοι* aut *ἄγει* exhibent. 10 *τὸ* add. Radermacher. 13 *γε οὐ* et *εὐχερῆ* desunt in Dem.

φαλῆς λίθος κρέμαται;' καὶ ὡς Αἰσχίνης (III 166) 'οὐ μέμνησθε αὐτοῦ τὰ ἀπίθανα καὶ μιαρὰ ῥήματα, ἃ πῶς ποτε ὑμεῖς, ὦ σιδήριοι, ἐκαρτερεῖτε ἀκροώμενοι; ὅτε ἔφη παρελθών· ἀμπελουργοῦσί τινες τὴν πόλιν' καὶ τὰ ἑξῆς, καὶ ὡς Δημοσθένης (XVIII 232)
5 πρὸς αὐτὰ ταῦτα 'πάνυ γὰρ κατὰ τοῦτο χείρω γέγονε τὰ τῶν Ἑλλήνων πράγματα, εἰ τουτὶ τὸ ῥῆμα ἀλλὰ μὴ τουτὶ διεξῆλθον ἐγώ, ἢ δευρὶ τὴν χεῖρα ἀλλὰ μὴ δευρὶ μετήγαγον'.

5—7 cf. fr. 72, 13—16.
in hoc quoque loco Caecilii ingenium latere C. a Morawski l. s. p. 47 (p. 56) et Coblentz l. s. p. 21 putant.

73 (= 31 B.) Tiberivs III p. 80, 4 Sp.: τὸ δὲ σχῆμα τῆς ἐπανόδου ἐστὶ παρὰ τῷ Κεκιλίῳ. γίνεται δὲ αὕτη
10 ὅταν ὀνόματα δύο καὶ ῥῆμα προθέντες ἐπανίωμεν ἐπ' αὐτὰ καὶ ἐξηγώμεθα αὐτά, ὡς μήπω νοουμένου τοῦ λεχθέντος, οἷον εἴ τις λέγοι, ὅτι Νικίας καὶ Ἀλκιβιάδης ἐπὶ Σικελίας τὴν στρατείαν διέφθειραν, εἶτα ἐπανιὼν ἐπ' αὐτὰ λέγοι, Ἀλκιβιάδης μὲν εὐτελῆ τὸν πόλεμον καταλι-
15 πών, Νικίας δὲ ἀργὸν στρατηγήσας. χρῆται δὲ ἐπανόδῳ καὶ Θουκυδίδης ὁσάκις ἂν εἰς ἀσάφειαν ἐκ τῶν ὑπερβατῶν ἐκπίπτῃ.

16 s cf. fr. 94 p. 77, 27—28.

74 (= 32 B.) Tiberivs III p. 80, 13 Sp.: καὶ τὸ τῆς ἀφαιρέσεως σχῆμα ὁ Κεκίλιος εἰσάγει· λέξεως γὰρ
20 ἀφαίρεσιν τοῦτό φησι καὶ λέγει κεῖσθαι παρὰ τῷ Θουκυδίδῃ (cf. III 13, 3) 'φθείρατε γὰρ ἄνδρες Ἀθηναῖοι ἐφθαρμένοι εἰσὶ ἐτέταχα ὦ πεποίηνται καὶ εἴρηνται'.

---

14 ‚nonne *ἀτελῆ?*' Spengel. 20 *τοῦτό*] ‚an *σχῆμα?*' Spengel. 21 uerba *φθείρατε* — 22 *εἴρηνται* admodum corrupta. uerba Thucydidis haec sunt: *ἐφθάραται Ἀθηναῖοι . . αἱ δ' ἐφ' ἡμῖν τετάχαται.*

75 (= 33 B.) TIBERIVS III p. 80, 18 Sp.: καὶ τὸ τῆς ἀλλοιώσεως σχῆμα εἰσάγει ὁ Κεκίλιος, καί φησιν αὐτὴν γίνεσθαι κατ' ὄνομα καὶ πτώσεις καὶ ἀριθμοὺς καὶ πρόσωπα καὶ χρόνους. καὶ ὀνόματα μὲν ἀλλοιοῦσιν ἀντὶ τοῦ ἄρρενος τὸ θῆλυ ἢ τὸ οὐδέτερον παραλαμβά- 5 νοντες, ἢ τῷ ἄρρενι ἀντ' ἀμφοῖν χρώμενοι, κατὰ τὸ πληθυντικόν, οἷον παρὰ μὲν Θουκυδίδῃ (I 6, 1) 'πᾶσα γὰρ ἡ Ἑλλὰς ἐσιδηροφόρει' ἀντὶ τῶν Ἑλλήνων, καὶ (II 44, 4) 'τὸ φιλότιμον ἀγήρω μόνον' ἀντὶ τοῦ ἡ φιλοτιμία· οὐδέτερον γὰρ μετείληφεν ἀντὶ τοῦ θήλεος. περὶ 10 δὲ τοὺς ἀριθμοὺς ἀλλοίωσις, ὡς παρ' Εὐπόλιδι ἐν Δήμοις (fr. 104, uol. I p. 285 K.)

ἅπασα γὰρ ποθοῦμεν ἡ κλεινὴ πόλις

καὶ παρὰ Δημοσθένει (cf. III 31) 'ὑμεῖς ὦ βουλή'. κατὰ δὲ τὰ πρόσωπα ἀλλοίωσις, ὡς παρὰ τῷ αὐτῷ· τοῖς γὰρ 15 δικα|σταῖς διαλεγόμενος μετατίθησιν ἑαυτὸν ἐπὶ τὸν ἀντί- 81 Sp. δικον 'ὅς, ὦ μιαρώτατε πάντων, κεκλεισμένης σοι τῆς παρρησίας' (Dem. XXV 28). καὶ πάλιν ἀπὸ τοῦ ἀντιδίκου μετάγει ἐπὶ τοὺς δικαστὰς λέγων, οἷον (Dem. XVIII 314) 'τῶν ἀνδρῶν τῶν ἀγαθῶν μέμνησαι. καὶ καλῶς ποιεῖς. 20 οὐ μέντοι δίκαιόν ἐστιν, ὦ Ἀθηναῖοι ..' καὶ παρ' Εὐριπίδῃ (Orest. 720—722)

φεύγεις ἀποστραφείς με, τὰ δ' Ἀγαμέμνονος
φροῦδα·

εἶτα μεταστρέφει τὸν λόγον ἐπὶ τὸν ἀποθανόντα 25

7 s et 14 cf. Longinus epitome Rh. Gr. I 2 p. 216, 14 s Sp. et H., ubi eadem sed paululum mutata exempla exstant. 15—17 cf. fr. 67 *b*, 1 s. 17 s cf. fr. 94 p. 81, 4—7.

---

13 *ποθοῦμεν ἡ* Meineke, *ποθουμένη* libri. 15 *ἀλλοίωσις, ὡς παρὰ τῷ αὐτῷ* scripsi ex coniectura Spengelii, *ἀλλοιώσεις ὡς παρ' αὐτῷ* libri.

ἄφιλος ἦσθ' ἄρ', ὦ πάτερ, πράττων κακῶς.

τοὺς δὲ χρόνους ἀλλοιοῦσιν, ὅταν τοῖς ἐνεστῶσιν ἀντὶ τῶν παρῳχημένων χρῶνται, οἷον παρὰ Δημοσθένει (LIX 34) 'καὶ ὅτι ταῦτα ἀληθῆ λέγω, τοὺς ὁρῶντας ὑμῖν μάρ-
5 τυρας παρέξομαι' ἀντὶ τοῦ τοὺς ἑωρακότας. ὁποῖόν ἐστι καὶ τὸ παρὰ τῷ Εὐριπίδῃ ἐν τῇ Ἀνδρομέδᾳ (fr. 145 N.[2])

ὁρῶ δὲ πρὸς τῆς παρθένου θοινάματα

ἀντὶ τοῦ εἶδον. καὶ ὁ Θουκυδίδης (II 35, 1) 'οἱ μὲν πολλοὶ τῶν ἐνθάδε εἰρηκότων ἐπαινοῦσι τὸν προστιθέντα
10 τῷ νόμῳ τὸν λόγον τόνδε' ἀντὶ τοῦ ἐπῄνεσαν.

cum disputatione Tiberiana in multis congruit Alexander (u. fr. 75 *a*).

75a Epitome Alexandri III p. 33, 16 Sp.: ἡ δὲ ἀλλοίωσις ἢ καὶ ἀλλαγὴ σχῆμά ἐστι ποικίλον, καὶ κατὰ πολλοὺς γινόμενον τρόπους· καὶ γὰρ ἀριθμοὺς ἀλλάσσομεν, καὶ ὀνομάτων τὰς πτώσεις, καὶ ἐπὶ τῶν ῥημάτων πάλιν χρόνους, πάθη. ὀνομάτων μὲν
15 οὖν εἴδη καὶ οὕτως ἀλλοιοῦται καὶ μεταβάλλεται 'πᾶσα γὰρ ἡ Ἑλλὰς ἐσιδηροφόρει' (Thuc. I 6, 1)· ἀντὶ γὰρ τῶν Ἑλλήνων Ἑλλὰς εἴρηται· καὶ πάλιν (id. II 44, 4) 'εἰ γὰρ τὸ φιλότιμον ἀγήρω μόνον' ἀντὶ τοῦ ὁ φιλότιμος· καὶ ὡς Δημοσθένης (XVIII 18) 'ἔπειτα δ' ἡ Πελοπόννησος ἅπασα διειστήκει' ἀντὶ τοῦ οἱ
20 Πελοποννήσιοι. τούτου δ' ἔχεται τοῦ τρόπου καὶ τὸ τοιοῦτον 'γῆν ἀροῦν'. ἐγίνετο δὲ καὶ τοιαύτη μεταβολὴ προσώπων, ὅταν ἀφ' ἑτέρου ἐφ' ἕτερον τὸν λόγον μεταφέρωμεν, ὡς ἔχει τὸ τοιοῦτον (Dem. XXV 27 s) 'καὶ οὐδεὶς ἡμῶν χολὴν οὐδ' ὀργὴν εὑρεθήσεται ἔχων ἐφ' οἷς ὁ βδελυρὸς οὗτος καὶ ἀναιδὴς βιάζεται;
34 Sp. ὅς, ὦ μιαρώτατε πάντων, ἀποκεκλεισμένης σοι | τῆς παρρησίας'.
26 πτώσεως δὲ ἀλλαγὴ καὶ μεταβολὴ οὕτω σχηματίζεται παρὰ τοῖς παλαιοῖς (Dem. XIX 2) 'τοὺς μὲν οὖν ἄλλους, ὅσοι πρὸς τὰ κοινὰ δικαίως προσέρχονται, κἂν δεδωκότες ὦσιν εὐθύνας, τὴν ἀει-

18 s cf. fr. 94 p. 79, 10. 23—25 cf. fr. 94 p 81. 4—7.

12 *γενόμενον* libri, corr. Spengel.

λογίαν ὁρῶ προτεινομένους'· ἀπὸ γὰρ τῆς αἰτιατικῆς ἐπὶ τὴν εὐθεῖαν ἐτράπη· καὶ τὰ Ὁμηρικά (Α 1 s) 'μῆνιν ἄειδε, θεά, οὐλομένην, ἣ μυρία', καὶ πάλιν (α 1)

ἄνδρα μοι ἔννεπε, μοῦσα, πολύτροπον, ὃς μάλα πολλά.

ἀριθμοὺς δὲ οὕτως ἀλλάσσουσιν, ὡς Θουκυδίδης (II 53, 1) 'ῥᾷον 5 γὰρ ἐτόλμα τις ἃ πρότερον ἀπεκρύπτετο μὴ καθ' ἡδονὴν ποιεῖν, ἀντίστροφον τὴν μεταβολὴν ὁρῶντες'· καὶ 'Φίλιππος καὶ τὸ πλῆθος τῶν ἔλαττον ἰδόντες τὴν τροπὴν τῶν Λιβύων ἐφείποντο'. χρόνων δὲ ἀλλαγὴ τοῦτον γίνεται τὸν τρόπον ([Dem.] LIX 34) 'καὶ ὅτι ἀληθῆ ταῦτα λέγομεν, τοὺς ὁρῶντας ὑμῖν παρέξομαι μάρ- 10 τυρας' ἀντὶ τοῦ τοὺς ἑωρακότας. καὶ ⟨αἱ⟩ ἐνέργειαι δὲ καὶ τὰ πάθη [καὶ τὰ ῥήματα] ἀλλάσσεται, καὶ τοῦτο πολύ ἐστι παρὰ Θουκυδίδῃ, οἷον (I 2, 2) 'οὐδ' ἐπιμιγνύντες ἀλλήλοις' ἀντὶ τοῦ ἐπιμιγνύμενοι, καὶ πάλιν (I 120, 2) 'τοὺς τὴν μεσόγειαν μᾶλλον κατῳκημένους' ἀντὶ τοῦ κατῳκηκότας. 15

hunc tractatum ad Caecilium fontem reuocauerunt C. A Morawski l. s. p. 45 s (p. 52, p. 56, adn. 58), Martens l. s. p. 17 s, Coblentz l. s. p. 29 s.

76 (= 34 B.) Tiberivs III p. 81, 23 Sp.: καὶ τὴν παρεμβολὴν εἰσάγει Κεκίλιος σχῆμα λέξεως, κέχρηται δὲ παραδείγματι τῷ παρὰ Θουκυδίδῃ (I 26, 5) 'οἱ δὲ Κορίνθιοι προσκαθεζόμενοι (ἔστι δὲ ἰσθμὸς τὸ χωρίον) ἐπολιόρκουν τὴν πόλιν'. καὶ ὁ Ἡρόδοτος (I 6) 'Κροῖσος ἦν 20 Λυδὸς μὲν γένος, παῖς δὲ Ἀλυάττεω, τύραννος δὲ ἐθνῶν τῶν ἐντὸς Ἅλυος ποταμοῦ, ὃς ῥέων ἀπὸ μεσημβρίης μεταξὺ Σύρων καὶ Παφλαγόνων ἐξίει πρὸς βορέην ἄνεμον εἰς τὸν Εὔξεινον καλεόμενον | πόντον'· ἐνταῦθα παρ- 82 Sp. εμβέβληται τὰ τοῦ ποταμοῦ. καὶ Εὐριπίδης (fr. 228 N.[2]) 25

Δαναὸς ὁ πεντήκοντα θυγατέρων πατὴρ
Νείλου λιπὼν κάλλιστον ἐκ γαίας ὕδωρ,

---

11 αἱ add. Radermacher.. 12 καὶ τὰ ῥήματα del. Spengel. 18 οἱ δὲ — 19 ἔστι] οἱ μὲν Κερκυραῖοι ἔστι Thucyd.

ὃς ἐκ μελαμβρότοιο πληροῦται ῥοὰς
Αἰθιόπιδος γῆς, ἡνίκ' ἂν τακῇ χιὼν
τεθριππεύοντος ἡλίου κατ' αἰθέρα,
ἐλθὼν κατ' Ἄργος ᾤκις' Ἰνάχου πόλιν.
5 οἱ γὰρ τρεῖς περὶ τοῦ ποταμοῦ στίχοι περιττοί.

ad hoc fragm. cf. adn. meam ad fr. 67 *a*, 16—19 ascriptam. magna similitudo disputandi rationis intercedit inter hunc locum et fr. 76 *a*. quare Alexandrum quoque Caecilium sequi C. a Morawski l. s. p. 47, p. 52 ss et Coblentz l. s. p. 36 iudicauerunt.

76a Epitome Alexandri III p. 39, 12 Sp.: περὶ παρεμβολῆς· τοῦτο τὸ σχῆμα παρακεῖσθαι μὲν δοκεῖ τῷ ὑπερβατῷ, ἐπειδὴ μεταξὺ τῆς κατὰ φύσιν συντάξεως τοῦ λόγου τίθεταί τις λόγος, διαφέρει δὲ ἐκείνου· τὸ μὲν γὰρ ὑπερβατὸν ἐν τῇ ἀλλαγῇ τῶν
10 μορίων καὶ τῇ προσαποδόσει τοῦ ἀκολουθοῦντος σχήματος· ἡ δὲ παρεμβολὴ ἰδίαν ἔχει διάνοιαν· καὶ τῆς μὲν ὑπερβάσεως, ὅταν τι μέρος τῶν ὑπαρχόντων ἄρῃς, βλάψεις τὸν νοῦν καὶ τὸ σχῆμα ἀναιρήσεις· ἡ παρεμβολὴ δὲ καὶ ὅλη ἀρθεῖσα οὐ βλάπτει τὴν διάνοιαν. παράδειγμα δὲ τῆς παρεμβολῆς καὶ τὸ παρ' Ἡροδότῳ
15 κείμενον (I 6) 'Κροῖσος ἦν Λυδὸς μὲν τὸ γένος, παῖς δὲ Ἀλυάττεω, τύραννος δὲ ἐθνέων τῶν ἐντὸς Ἅλυος ποταμοῦ, ὃς ῥέων ἀπὸ μεσημβρίης μεταξὺ Σύρων καὶ Καππαδοκῶν καὶ πρὸς βορέην ἄνεμον εἰς τὸν Εὔξεινον ἐξίησι πόντον. οὗτος οὖν Κροῖσος'· ἐνταῦθα τὰ περὶ τοῦ ποταμοῦ παρεμβεβλημένα οὐδὲν κοινὸν ἔχει
20 τοῖς περὶ τὸν Κροῖσον· ἐδύνατο γὰρ καὶ οὕτως ἔχειν ὁ λόγος 'τύραννος δὲ ἐθνέων τῶν ἐντὸς Ἅλυος ποταμοῦ, οὗτος ὢν ὁ Κροῖσος'.

hoc fragmentum, imprimis 6—7, et Quintiliani uerba (fr. 67 *a*, 16—19) consentiunt.

***77** Qvintil. IX 3, 76: Theo Stoicus *πάρισον* existimat, quod sit e membris non dissimilibus.

2 *τακείη* codex, *τακῇ* edunt. 23 Theo Stoicus *Halm*, cheostolcus A[1]G.

his uerbis fortasse Caecilii iudicium tradi V. DE WILAMOWITZ (Herm. XXXV 1900 p. 6 s, 2) suspicatus est. cf. fr. 111, ubi idem Theo fortasse Caecilio utitur.

***78** LESBONAX (recensio B) p. 7 Mueller: ἐπεξήγηςίς ἐςτιν ἀςαφοῦς λέξεως ἢ λόγου ςαφηνιςμός. λέξεως μὲν ὡς τὸ 'λαβὲ τὸν ἀκινάκην ὅ ἐςτι Περςικὸν ξιφίδιον' (cf. Herodot. VII 54). λόγου δὲ ὡς τὸ 'ὁ οἶκος οὗτος βεβαίως οὐκ οἰκεῖται, λέγω δὲ 4 ὡς οἱ μέ|νοντες ἐν τούτῳ ταχέως μετέρχονται'. 8 M.

simillima Phoebammon (Rh. Gr. III p. 47, 19—24 Sp.) tradit. fragmenta 78—81 fortasse Caecilio deberi HAMMER l. c. p. 1608 suspicatus est.

***79** LESBONAX p. 8 M.: ἀπὸ κοινοῦ ἐςτι λέξις ἅπαξ μὲν λεγομένη, πολλάκις δὲ νοουμένη καὶ ἔξωθεν λαμβανομένη, οἷον 'ἀπελθὼν ᾔτηςα τοὺς ἄνδρας, μάλιςτα δὲ Χαρίδημον καὶ Ἵππαρχον'. καὶ Ὅμηρος (Α 15. 16)

ἐλίςςετο πάντας Ἀχαιούς, 10
Ἀτρεῖδα δὲ μάλιςτα.

ἀπὸ κοινοῦ γὰρ ἐπ' ἐκείνου μὲν τὸ ᾔτηςα, ἐπὶ τούτου δὲ τὸ ἐλίςςετο.

eadem fere apud Phoebammonem (III p. 46, 3—6 Sp.) leguntur. uide, quae ad fr. 78 notaui.

***80** LESBONAX p. 8 M.: ἑτερογενές ἐςτι μετάβαςις ἀπὸ γένους εἰς γένος πρὸς τὸ νοούμενον. οἷον 'τὰ περὶ θάλαςςαν φοβερά 15 εἰςιν, ἐρημίαι οὖςαι'.

cum his congruunt, quae Phoebammon (III p. 49, 2—5 Sp.) exhibet. cf. adnotationem ad fr. 78.

***81** LESBONAX p. 8 M.: ἑτεροπρόςωπόν ἐςτιν, ὅταν ἕτερον πρόςωπον ὑποβάλλωμεν λέγον ἃ ἡμεῖς ἐμέλλομεν λέγειν, οἷον 'πάντες οἱ Αἰγύπτιοι βοῶςι τὴν ἀδικίαν ὑμῶν'· ἢ ὅταν αὐτοὶ μὲν λέ|γωμεν, 9 M.

πρὸς ἕτερον δὲ ἀποτεινώμεθα καὶ οὐ πρὸς τὸν ἀδικήσαντα, οἷον 'ἐγὼ δὲ ἰδὼν τινα βλάπτοντα τὸν πέλας εἶπον πρὸς αὐτόν· ὡς ἀδικεῖς τὸν πέλας'.

cum his dictis doctrina Phoebammonis eius recensionis, quae apud Walzium (Rh. Gr. VIII p. 504, 6—12) inuenitur, bene consentit; recensio, quam Spengel (Rh. Gr. III p. 49, 24—28) praebet, alia est. uide, quae ad fr. 78 dixi.

V

ΠΕΡΙ ΥΨΟΥΣ

82 (= 43 B.) De sublimitate I 1 p. 1, 1 V.: *τὸ*
5 *μὲν τοῦ Κεκιλίου συγγραμμάτιον, ὃ περὶ ὕψους συνετάξατο, ἀνασκοπουμένοις ἡμῖν ὡς οἶσθα κοινῇ, Ποστούμιε Τερεντιανὲ φίλτατε, ταπεινότερον ἐφάνη τῆς ὅλης ὑποθέσεως, καὶ ἥκιστα τῶν καιρίων ἐφαπτόμενον οὐ πολλήν γε ὠφέλειαν, ἧς* |
2 V. *μάλιστα δεῖ στοχάζεσθαι τὸν γράφοντα, περιποιοῦν*
11 *τοῖς ἐντυγχάνουσιν· εἶτ' ἐπὶ πάσης τεχνολογίας δυεῖν ἀπαιτουμένων, προτέρου μὲν τοῦ δεῖξαι, τί τὸ ὑποκείμενον, δευτέρου δὲ τῇ τάξει, τῇ δυνάμει δὲ κυριωτέρου, πῶς ἂν ἡμῖν αὐτὸ τοῦτο καὶ δι' ὧν τινων*
15 *μεθόδων κτητὸν γένοιτο, ὅμως ὁ Κεκίλιος ποῖον μέν τι ὑπάρχει τὸ ὑψηλὸν διὰ μυρίων ὅσων ὡς ἀγνοοῦσι πειρᾶται δεικνύναι, τὸ δὲ δι' ὅτου τρό-*

17 — p. 63, 3 cf. fr. 84, ubi eandem cogitandi rationem Caecilii reperimus.

---

7 *Τερεντιανὲ* Manutius, *φλωρεντιανὲ* liber. 9 *γε* Reiske, *τε* liber, defendit *τε* B. *literar. zentralbl.* 1906 p. 142. 11 *εἶτ'* Manutius, *εἶτ'* liber, *εἶγ'* Spengel et B. *literar. zentralbl.* 1906 p. 142.

που τὰς ἑαυτῶν φύσεις προάγειν ἰσχύοιμεν ἂν εἰς ποσὴν μεγέθους ἐπίδοσιν, οὐκ οἶδ' ὅπως ὡς οὐκ ἀναγκαῖον παρέλιπεν· (2) πλὴν ἴσως τουτονὶ μὲν τὸν ἄνδρα οὐχ οὕτως αἰτιᾶσθαι τῶν ἐκλελειμμένων, ὡς αὐτῆς τῆς ἐπινοίας καὶ σπουδῆς 5 *ἄξιον ἐπαινεῖν.*

cf. de hoc loco Rothstein l. s. p. 9 s.

83 De svblimitate I 3 p. 2, 17 V.: *γράφων δὲ πρὸς σέ, φίλτατε, τὸν παιδείας ἐπιστήμονα, σχεδὸν ἀπήλλαγμαι καὶ τοῦ διὰ πλειόνων προϋποτίθεσθαι, ὡς ἀκρότης καὶ ἐξοχή τις λόγων ἐστὶ τὰ ὕψη, καὶ ποιητῶν τε οἱ μέγιστοι καὶ* 10 *συγγραφέων οὐκ ἄλλοθεν ἢ ἐνθένδε ποθὲν ἐπρώτευσαν καὶ ταῖς ἑαυτῶν περιέβαλον εὐκλείαις τὸν | αἰῶνα.* 3 V. (4) *οὐ γὰρ εἰς πειθὼ τοὺς ἀκροωμένους ἀλλ' εἰς ἔκστασιν ἄγει τὰ ὑπερφυᾶ· πάντη δέ γε σὺν ἐκπλήξει τοῦ πιθανοῦ καὶ τοῦ πρὸς χάριν ἀεὶ κρατεῖ τὸ θαυ-* 15 *μάσιον, εἴγε τὸ μὲν πιθανὸν ὡς τὰ πολλὰ ἐφ' ἡμῖν, ταῦτα δὲ δυναστείαν καὶ βίαν ἄμαχον προσφέροντα παντὸς ἐπάνω τοῦ ἀκροωμένου καθίσταται, καὶ τὴν μὲν ἐμπειρίαν τῆς εὑρέσεως καὶ τὴν τῶν πραγμάτων τάξιν καὶ οἰκονομίαν οὐκ ἐξ ἑνὸς οὐδ' ἐκ δυεῖν, ἐκ δὲ* 20 *τοῦ ὅλου τῶν λόγων ὕφους μόλις ἐκφαινομένην ὁρῶμεν, ὕψος δέ που καιρίως ἐξενεχθὲν τά τε πράγματα δίκην σκηπτοῦ πάντα διεφόρησεν καὶ τὴν τοῦ ῥήτορος εὐθὺς ἀθρόαν ἐνεδείξατο δύναμιν. ταῦτα γὰρ οἶμαι καὶ τὰ παραπλήσια, Τερεντιανὲ ἥδιστε, κἂν αὐτὸς ἐκ πείρας ὑφηγήσαιο.* 25

ea, quae 14–16 leguntur, aut ex Aristot. rhet. III 2 p. 1404^{b} 11 s aut ex arte Theodectea sumpta esse Angermann l. c. p. 49 s explicauit. eandem doctrinam Aristoteleam in fr. 46 inuenimus. 9—12 Rothstein l. c. p. 11 s, 3 Caecilio uindicauit; Angermann l. c. p. 50 totum hunc locum ad Calactinum reducere uidetur.

84 De sublimitate II 1 p. 3, 12 V.: *ἡμῖν δ' ἐκεῖνο διαπορητέον ἐν ἀρχῇ, εἰ ἔστιν ὕψους τις ἢ βάθους τέχνη, ἐπεί τινες ὅλως οἴονται διηπατῆσθαι τοὺς τὰ τοιαῦτα ἄγοντας εἰς τεχνικὰ παραγγέλματα. „γεννᾶται γάρ"*
5 *φησί „τὰ μεγαλοφυῆ καὶ οὐ διδακτὰ παραγίνεται, καὶ μία τέχνη πρὸς αὐτὰ τὸ πεφυκέναι· χείρω τε τὰ φυσικὰ ἔργα", ὡς οἴονται, „καὶ τῷ παντὶ δειλότερα καθίσταται ταῖς τεχνολογίαις κατασκελετευόμενα".* (2) *ἐγὼ δὲ ἐλεγχθήσεσθαι τοῦθ' ἑτέρως ἔχον φημί, εἰ*
10 *ἐπισκέψαιτό τις, ὅτι ἡ φύσις, ὥσπερ τὰ πολλὰ ἐν τοῖς παθητικοῖς καὶ διηρμένοις αὐτόνομον, οὕτως οὐκ εἰκαῖόν τι κἀκ παντὸς ἀμέθοδον εἶναι φιλεῖ, καὶ ὅτι αὕτη μὲν πρῶτόν τι καὶ ἀρχέτυπον γενέσεως στοιχεῖον ἐπὶ πάντων ὑφέστηκεν, τὰς δὲ ποσότητας καὶ τὸν*
4 V. *ἐφ' ἑκάστου καιρόν, ἔτι δὲ* | *τὴν ἀπλανεστάτην ἄσκησίν τε*
16 *καὶ χρῆσιν ἱκανὴ παρορίσαι καὶ συνενεγκεῖν ἡ μέθοδος, καὶ ὡς ἐπικινδυνότερα, αὐτὰ ἐφ' αὑτῶν δίχα ἐπιστήμης, ἀστήρικτα καὶ ἀνερμάτιστα ἐαθέντα, τὰ μεγάλα, ἐπὶ μόνῃ τῇ φορᾷ καὶ ἀμαθεῖ τόλμῃ λειπόμενα· δεῖ γὰρ αὐτοῖς, ὡς κέντρου πολ-*
20 *λάκις, οὕτω δὲ καὶ χαλινοῦ·* (3) *ὅπερ γὰρ ὁ Δημοσθένης* (XXIII 113) *ἐπὶ τοῦ κοινοῦ τῶν ἀνθρώπων ἀποφαίνεται βίου, μέγιστον μὲν εἶναι τῶν ἀγαθῶν τὸ εὐτυχεῖν, δεύτερον δὲ καὶ οὐκ ἔλαττον τὸ εὖ βουλεύεσθαι, ὅπερ οἷς ἂν μὴ παρῇ συναναιρεῖ πάντως καὶ θάτερον, τοῦτ' ἂν καὶ ἐπὶ τῶν λόγων εἴποιμεν,*
5 V. *ὡς* | *ἡ μὲν φύσις τὴν τῆς εὐτυχίας τάξιν ἐπέχει, ἡ τέχνη δὲ*
26 *τὴν τῆς εὐβουλίας· τὸ δὲ κυριώτατον, ὅτι καὶ αὐτὸ τὸ εἶναί τινα τῶν ἐν λόγοις ἐπὶ μόνῃ τῇ φύσει οὐκ ἄλλοθεν ἡμᾶς ἢ παρὰ τῆς τέχνης ἐκμαθεῖν δεῖ· εἰ ταῦθ', ὡς ἔφην, ἐπιλογίσαιτο καθ' ἑαυτὸν ὁ τοῖς χρηστομαθοῦσιν ἐπιτιμῶν,*
30 *οὐκ ἂν ἔτι, μοὶ δοκῶ, περιττὴν καὶ ἄχρηστον τὴν ἐπὶ τῶν προκειμένων ἡγήσαιτο θεωρίαν.*

---

5 *φασί* Manutius, *φησι* liber. 25 *φύσις* — 31 *θεωρίαν* om. liber, ,edidit primus Tollius ex codice Vaticano, leguntur in a (cod. Vaticano) b' (cod. Parisino). 26 *κυριώτατον ὅτι* Pearcius, *κυριώτατόντε* ab. 28 *ὡς ἔφην*] cf. supra u. 9 s. 31 *ἡγήσαιτο* Boivinus, *****σαιτο* b, *κομίσαιτο* a.

in hoc loco Caecilium impugnari contendunt Martens l. c. p. 9 s, Diels (Herm. XIII 1878 p. 5), Weise l. s. p. 45 et 45 s, 1, Kaibel l. c. p. 119, negant Rothstein l. c. p. 11 s, 3, Coblentz l. c. p. 52 s, Brzoska l. c. p. 1180. hoc fragmentum cum fr. 82 p. 62, 17 — 63, 3 praestanter concinit. huc pertinet alius locus, qui contra eundem Caecilium dictus esse mihi uidetur:

De sublimitate XL 2 p. 74, 8 V.: *ἀλλὰ μὴν ὅτι γε πολλοὶ καὶ συγγραφέων καὶ ποιητῶν οὐκ ὄντες ὑψηλοὶ φύσει, μήποτε δὲ καὶ ἀμεγέθεις, ὅμως, κοινοῖς καὶ δημώδεσι τοῖς ὀνόμασι καὶ οὐδὲν ἐπαγομένοις περιττὸν ὡς τὰ πολλὰ συγχρώμενοι, διὰ μόνου τοῦ συνθεῖναι καὶ ἁρμόσαι ταῦτα δ', ὅμως ὄγκον* 5 *καὶ διάστημα καὶ τὸ μὴ ταπεινοὶ δοκεῖν εἶναι περιεβάλοντο, καθάπερ ἄλλοι τε πολλοὶ καὶ Φίλιστος, Ἀριστοφάνης ἔν τισιν, ἐν τοῖς πλείστοις Εὐριπίδης, ἱκανῶς ἡμῖν δεδήλωται.*

85 (p. 66, 19—26 = 45 B.) De sublimitate III 1 p. 5, 9 V.:

* * καὶ καμίνου cχῶcι μάκιcτον cέλαc. | 10
εἰ γάρ τιν' ἑcτιοῦχον ὄψομαι μόνον, 6 V.
μίαν παρείραc πλεκτάνην χειμάρροον,
cτέγην πυρώcω καὶ κατανθρακώcομαι·
νῦν δ' οὐ κέκραγά πω τὸ γενναῖον μέλοc.
(Aeschyl. fr. 281 N.[2])

οὐ τραγικὰ ἔτι ταῦτα, ἀλλὰ παρατράγῳδα, αἱ πλεκτάναι, καὶ τὸ 15 πρὸc οὐρανὸν ἐξεμεῖν, καὶ τὸ τὸν Βορέαν αὐλητὴν ποιεῖν, καὶ τὰ ἄλλα ἑξῆc· τεθόλωται γὰρ τῇ φράcει καὶ τεθορύβηται ταῖc φανταcίαιc μᾶλλον ἢ δεδείνωται, κἂν ἕκαcτον αὐτῶν πρὸc αὐγὰc ἀναcκοπῇc, ἐκ τοῦ φοβεροῦ κατ' ὀλίγον ὑπονοcτεῖ πρὸc τὸ εὐκαταφρόνητον. ὅπου δ' ἐν τραγῳδίᾳ, πράγματι ὀγκηρῷ φύcει 20 καὶ ἐπιδεχομένῳ cτόμφον, ὅμωc τὸ παρὰ μέλοc οἰδεῖν ἀcύγγνωcτον, cχολῇ γ' ἂν οἶμαι λόγοιc ἀληθινοῖc ἁρμόcειεν. (2) ταύτῃ καὶ τὰ τοῦ Λεοντίνου Γοργίου γελᾶται γράφοντοc (fr. 14 O A II 131[a] Tur.; *Vorsokratiker* fr. 18 Diels) 'Ξέρξηc ὁ τῶν Περcῶν Ζεύc', καὶ 'γῦπεc ἔμψυχοι τάφοι', καί τινα τῶν Καλλιcθένουc ὄντα οὐχ 25 ὑψηλὰ ἀλλὰ μετέωρα, καὶ ἔτι μᾶλλον τὰ Κλειτάρχου· φλοιώδηc

1 *γε* Tollius, *τε* liber. 22 *σχολῇ* edunt, *σχολὴ* liber. 25 *γύπες* liber, *γῦπες* Vahlen ex Hom.

γὰρ ἀνὴρ καὶ φυσῶν κατὰ τὸν Σοφοκλέα (cf. fr. 701 N.[2]) μικροῖς μὲν αὐλίσκοισι, φορβειᾶς δ' ἄτερ· τά γε μὴν Ἀμφικράτους (FHG IV 300) τοιαῦτα καὶ Ἡγησίου καὶ Μάτριδος· πολλαχοῦ γὰρ
7 V. ἐνθουσιᾶν ἑαυτοῖς δοκοῦντες οὐ βακχεύουσιν ἀλλὰ παίζου|σιν.
5 (3) ὅλως δ' ἔοικεν εἶναι τὸ οἰδεῖν ἐν τοῖς μάλιστα δυσφυλακτότατον. φύσει γὰρ ἅπαντες οἱ μεγέθους ἐφιέμενοι, φεύγοντες ἀσθενείας καὶ ξηρότητος κατάγνωσιν, οὐκ οἶδ' ὅπως ἐπὶ τοῦθ' ὑποφέρονται, πειθόμενοι τῷ 'μεγάλων ἀπολισθαίνειν ὅμως εὐγενὲς ἁμάρτημα'. (4) κακοὶ δὲ ὄγκοι καὶ ἐπὶ σωμάτων καὶ λόγων
10 οἱ χαῦνοι καὶ ἀναλήθεις καὶ μήποτε περιιστάντες ἡμᾶς εἰς τοὐναντίον· οὐδὲν γάρ, φασί, ξηρότερον ὑδρωπικοῦ. ἀλλὰ τὸ μὲν οἰδοῦν ὑπεραίρειν βούλεται τὰ ὕψη, τὸ δὲ μειρακιῶδες ἄντικρυς ὑπεναντίον τοῖς μεγέθεσι· ταπεινὸν γὰρ ἐξ ὅλου καὶ μικρόψυχον καὶ τῷ ὄντι κακὸν ἀγεννέστατον. τί ποτ' οὖν τὸ μειρακιῶδές
15 ἐστιν; ἢ δῆλον ὡς σχολαστικὴ νόησις, ὑπὸ περιεργίας λήγουσα εἰς ψυχρότητα; ὀλισθαίνουσι δ' εἰς τοῦτο τὸ γένος ὀρεγόμενοι μὲν τοῦ περιττοῦ καὶ πεποιημένου καὶ μάλιστα τοῦ
8 V. ἡδέος, ἐξοκέλλοντες δὲ εἰς τὸ ῥωπικὸν καὶ κακόζηλον. . . | . . .

IV (1) θατέρου δὲ ὧν εἴπομεν, λέγω δὲ τοῦ ψυχροῦ, πλή-
20 ρης ὁ Τίμαιος, ἀνὴρ τὰ μὲν ἄλλα ἱκανὸς καὶ πρὸς λόγων ἐνίοτε μέγεθος οὐκ ἄφορος, πολυΐστωρ, ἐπινοητικός, πλὴν ἀλλοτρίων μὲν ἐλεγκτικώτατος ἁμαρτημάτων, ἀνεπαίσθητος δὲ ἰδίων, ὑπὸ δὲ ἔρωτος τοῦ ξένας νοήσεις ἀεὶ κινεῖν πολλάκις ἐκπίπτων εἰς τὸ παιδαριωδέστατον.
25 (2) παραθήσομαι δὲ τἀνδρὸς (fr. 138 FHG I 227) ἓν ἢ
9 V. δύο, ἐπειδὴ τὰ πλείω προέλαβεν ὁ Κεκίλιος. . . . | . . .
(4) τί δεῖ περὶ Τιμαίου λέγειν, ὅπου γε καὶ οἱ ἥρωες ἐκεῖνοι, Ξενοφῶντα λέγω καὶ Πλάτωνα, καίτοιγε ἐκ τῆς Σωκράτους ὄντες παλαίστρας, ὅμως διὰ τὰ οὕτως μικροχαρῆ ποτε ἑαυτῶν ἐπιλαν-
30 *θάνονται; ὁ μέν γε ἐν τῇ Λακεδαιμονίων γράφει πολι-*

26 uide fr. 85*a*.

---

1 *ἀνὴρ* liber. 8 *μεγάλων* Columbus, *μεγάλω* liber. 18 *ἐξοκέλλοντες* V. de Wilamowitz, *ἐποκέλλοντες* liber. *ῥωπικὸν* Is. Vossius, *ῥοπικὸν* liber.

τείᾳ (de re p. Laced. 3, 5) 'ἐκείνων μὲν γοῦν ἧττον μὲν ἂν φωνὴν ἀκούσαις ἢ τῶν λιθίνων, ἧττον δ' ἂν ὄμματα στρέψαις ἢ τῶν χαλκῶν, αἰδημονεστέρους δ' ἂν αὐτοὺς ἡγήσαιο καὶ αὐτῶν τῶν ἐν τοῖς ὀφθαλμοῖς 4 παρθένων'. . . . (5) ὁ | μέντοι Τίμαιος (fr. 149 FHG I 231), 10 V. ὡς φωρίου τινὸς ἐφαπτόμενος, οὐδὲ τοῦτο Ξενοφῶντι τὸ ψυχρὸν κατέλιπεν. φησὶ γοῦν ἐπὶ τοῦ Ἀγαθοκλέους κατὰ τὸ τὴν ἀνεψιὰν ἑτέρῳ δεδομένην ἐκ τῶν ἀνακαλυπτηρίων ἁρπάσαντα ἀπελθεῖν, 'ὃ τίς ἂν ἐποίησεν ἐν ὀφθαλμοῖς κόρας, μὴ πόρνας ἔχων;' (6) τί 10 δὲ ὁ τἆλλα θεῖος Πλάτων; τὰς δέλτους θέλων εἰπεῖν 'γράψαντες' φησὶν (de legg. V p. 741 c) 'ἐν τοῖς ἱεροῖς θήσουσιν κυπαριττίνας μνήμας'· καὶ πάλιν (ibid. VI p. 778 d) 'περὶ δὲ τειχῶν, ὦ Μέγιλλε, ἐγὼ ξυμφεροίμην ἂν τῇ Σπάρτῃ τὸ καθεύδειν ἐᾶν ἐν τῇ γῇ κατακείμενα τὰ 15 τείχη καὶ μὴ ἐπανίστασθαι'. (7) καὶ τὸ Ἡροδότειον (V 18) οὐ πόρρω, τὸ φάναι τὰς καλὰς γυναῖκας 'ἀλγηδόνας ὀφθαλμῶν'. καίτοιγε ἔχει τινὰ παραμυθίαν, οἱ γὰρ παρ' αὐτῷ ταυτὶ λέγοντες εἰσὶν οἱ βάρβαροι καὶ ἐν μέθῃ, ἀλλ' οὐδ' ἐκ τοιούτων προσώπων διὰ μι- 20 κροψυχίαν καλὸν ἀσχημονεῖν πρὸς τὸν αἰῶνα.

de toto fragmento cf. Rothstein l. c. p. 1—4 et 20, 1, qui haec omnia (praeter p. 65, 10—22) ex Caecilio hausta esse putat. p. 65, 10—22 quoque Caecilio deberi Weise l. c. p. 43, 2 indicat. utrumque adiudicat Brzoska l. c. p. 1180. Marx l. c. p. 175, 2 alia atque Rothstein causa commotus p. 66, 1 s et p. 67, 5—10 eidem Caecilio attribuit (ad hos locos uide adn. ad fr. 89). cf. praeterea Kaibel l. c. p. 114 s.

85a Plutarchus quaest. conuiu. VIII 1 p. 717 c: 'ἅμα τῆς τύχης', ὡς Τίμαιος (fr. 119 FHG I 223) ἔφη, 'τὸν μιμητὴν ἐξαγούσης τῶν τραγικῶν παθῶν, καὶ τὸν ἀγωνιστὴν ἐπεισαγούσης'.

referendum est ad fr. 85 p. 66, 26. hunc locum ex iis esse, qui a Caecilio tamquam exempla frigida ex Timaeo allati erant,

---

8 κατὰ τὸ Reiske, καὶ τὸ liber. 20 μέθει liber.

teste Martensio (p. 7, 3) Rvhnken ad Pseudolongini locum adnotauit.

86 De svblimitate VII 2 p. 11, 23 V.: *φύσει γάρ πως ὑπὸ τἀληθοῦς ὕψους ἐπαίρεταί τε ἡμῶν ἡ ψυχὴ καὶ γαῦρόν τι*
12 V. *ἀνάστημα λαμβάνουσα πληροῦται χαρᾶς καὶ με|γαλαυχίας, ὡς αὐτὴ γεννήσασα ὅπερ ἤκουσεν.*

inter haec uerba et Quintiliani uerba (uide fr. 86*a*) consensus intercedit (cf. etiam Vahleni adn. ad h. l. p. 12). communem fontem Caecilium esse Coblentz l. c. p. 54 et Angermann l. c. p. 50 statuerunt

5 **86a** Qvintil. VIII 2, 21: sed auditoribus etiam nonnullis grata sunt haec, quae cum intellexerunt, acumine suo delectantur et gaudent, non quasi audierint, sed quasi inuenerint.

87 (= 44 B.) De svblimitate VIII 1 p. 12, 15 V.:
10 *ἐπεὶ δὲ πέντε, ὡς ἂν εἴποι τις, πηγαί τινές εἰσιν αἱ τῆς ὑψηγορίας γονιμώταται, προϋποκειμένης ὥσπερ ἐδάφους τινὸς κοινοῦ ταῖς πέντε ταύταις ἰδέαις τῆς ἐν τῷ λέγειν δυνάμεως, ἧς ὅλως χωρὶς οὐδέν, πρῶτον μὲν καὶ κράτιστον τὸ περὶ τὰς*
15 *νοήσεις ἁδρεπήβολον, ὡς κἀν τοῖς περὶ Ξενοφῶντος ὡρισάμεθα, δεύτερον δὲ τὸ σφοδρὸν καὶ ἐνθουσιαστικὸν πάθος, ἀλλ' αἱ μὲν δύο αὗται τοῦ ὕψους κατὰ τὸ πλέον αὐθιγενεῖς συστάσεις, αἱ λοιπαὶ δ' ἤδη καὶ διὰ*
18 V. *τέχνης, ἥ τε ποιὰ τῶν σχημά|των πλάσις, δισσὰ*
20 *δέ που ταῦτα, τὰ μὲν νοήσεως, θάτερα δὲ λέξεως, ἐπὶ δὲ τούτοις ἡ γενναία φράσις, ἧς*

---

3 *ἀνάστημα* libri deteriores, *ἀνάθημα* liber (P). 15 quae ab *ὡς* usque ad finem fr. 88 sequuntur, in duobus apographis exstant.

μέρη πάλιν ὀνομάτων τε ἐκλογὴ καὶ ἡ τροπικὴ καὶ πεποιημένη λέξις, πέμπτη δὲ μεγέθους αἰτία καὶ συγκλείουσα τὰ πρὸ ἑαυτῆς ἅπαντα, ἡ ἐν ἀξιώματι καὶ διάρσει σύνθεσις, φέρε δὴ τὰ ἐμπεριεχόμενα καθ᾽ ἑκάστην ἰδέαν τούτων ἐπισκεψώμεθα, 5 τοσοῦτον προειπόντες, ὅτι τῶν πέντε μορίων ὁ Κεκίλιος ἔστιν ἃ παρέλιπεν, ὡς καὶ τὸ πάθος ἀμέλει. (2) ἀλλ᾽ εἰ μὲν ὡς ἕν τι ταῦτ᾽ ἄμφω, τό τε ὕψος καὶ τὸ παθητικόν, καὶ ἔδοξεν αὐτῷ πάντῃ συνυπάρχειν τε ἀλλήλοις καὶ συμπεφυκέναι, δια- 10 μαρτάνει. καὶ γὰρ πάθη τινὰ διεστῶτα ὕψους καὶ ταπεινὰ εὑρίσκεται, καθάπερ οἶκτοι λῦπαι φόβοι, καὶ ἔμπαλιν πολλὰ ὕψη δίχα πάθους, ὡς πρὸς μυρίοις ἄλλοις καὶ τὰ περὶ τοὺς Ἀλωάδας τῷ ποιητῇ (λ 315—317) παρατετολμημένα 15

> Ὄσσαν ἐπ᾽ Οὐλύμπῳ μέμασαν θέμεν· αὐτὰρ ἐπ᾽ Ὄσσῃ
> Πήλιον εἰνοσίφυλλον, ἵν᾽ οὐρανὸς ἄμβατος εἴη·

καὶ τὸ τούτοις ἔτι μεῖζον ἐπιφερόμενον

> καί νύ κεν ἐξετέλεσσαν. 20

(3) παρά γε μὴν τοῖς ῥήτορσι τὰ ἐγκώμια καὶ τὰ πομπικὰ καὶ ἐπιδεικτικὰ τὸν μὲν ὄγκον καὶ τὸ ὑψηλὸν ἐξ ἅπαντος περιέχει, πάθους δὲ χηρεύει κατὰ τὸ πλεῖστον· ὅθεν ἥκιστα τῶν ῥητόρων | οἱ 14 V. περιπαθεῖς ἐγκωμιαστικοὶ ἢ ἔμπαλιν οἱ ἐπαινετικοὶ 25 περιπαθεῖς. (4) εἰ δ᾽ αὖ πάλιν ἐξ ὅλου μὴ ἐνόμισεν ⟨ὁ⟩ Κεκίλιος τὸ ἐμπαθὲς ⟨ἐς⟩ τὰ ὕψη ποτὲ συντελεῖν καὶ διὰ τοῦτ᾽ οὐχ ἡγήσατο μνήμης ἄξιον, πάνυ διηπάτηται· θαρρῶν γὰρ ἀφορι-

---

27 ὁ om. libri. ἐς add. Faber.

σαίμην ἄν, ὡς οὐδὲν οὕτως ὡς τὸ γενναῖον πάθος, ἔνθα χρή, μεγαλήγορον, ὥσπερ ὑπὸ μανίας τινὸς καὶ πνεύματος ἐνθουσιαστικῶς ἐκπνέον καὶ οἱονεὶ φοιβάζον τοὺς λόγους.

de uerbis in p. 68, 10 — 69, 7 exstantibus fusius ROTHSTEIN l. c. p. 12—15 et illi aduersatus WEISE l. c. p. 44 s egerunt. cf. etiam BRZOSKA l. c. p. 1179.

5 **88** DE SVBLIMITATE IX 9 p. 19, 1 V.: ταύτῃ καὶ ὁ τῶν Ἰουδαίων θεσμοθέτης οὐχ ὁ τυχὼν ἀνήρ, ἐπειδὴ τὴν τοῦ θείου δύναμιν κατὰ τὴν ἀξίαν ἐχώρησε κἀξέφηνεν, εὐθὺς ἐν τῇ εἰσβολῇ γράψας τῶν νόμων 'εἶπεν ὁ θεός' φησί (Genes. I 3. 9)· τί; 'γενέσθω φῶς, καὶ ἐγένετο· γενέσθω γῆ, καὶ ἐγένετο'.

hic Caecilium fontem esse MARTENS l. c. p. 18 s et ante eum SCHVRZFLEISCH et G. BVCHENAV (de scriptore libri *περὶ ὕψους*, Marb. 1849, p. 15) et alii, deinde COBLENTZ l. s. p. 55, FR. CVMONT (Philonis de aeternitate mundi ed. Berol. 1891 p. VII), BRZOSKA l. l. p. 1180 statuerunt. quod negauit MARX l. c. p. 179 s. cf. Suidae testimonium de Caecilio p. 1, 5.

10 **89** DE SVBLIMITATE X 5 p. 26, 5 V.: ὁ δὲ Ὅμηρος πῶς; . . (O 624—628)

ἐν δ' ἔπεσ', ὡς ὅτε κῦμα θοῇ ἐν νηῒ πέσῃσι
λάβρον ὑπαὶ νεφέων ἀνεμοτρεφές, ἡ δέ τε πᾶσα
ἄχνῃ ὑπεκρύφθη, ἀνέμοιο δὲ δεινὸς ἀήτης
15 ἱστίῳ ἐμβρέμεται, τρομέουσι δέ τε φρένα ναῦται
δειδιότες· τυτθὸν γὰρ ὑπὲκ θανάτοιο φέρονται.

(6) ἐπεχείρησεν καὶ ὁ Ἄρατος (phaen. 299) τὸ αὐτὸ τοῦτο μετενεγκεῖν

ὀλίγον δὲ διὰ ξύλον ἄϊδ' ἐρύκει.

ad hoc fr. cf. fr. 85 p. 66, 1 s et p. 67, 5—10, fr. 91, fr. 93, fr. 94 p. 73, 27—30, fr. 95 p. 85, 8 ss, fr. 121 p. 105, 14—16,

---

2 *μεγαλήγορον* Vahlen, *μεγαλήτορον* libri. 16 *δεδιότες* liber.

fr. 122, 10—13, fr. 164, fr. 165, fr. 166, fr. 167, quae omnia unius eiusdemque generis esse apparet; quare communem auctorem statuo. fontem huius loci Caecilium esse Marx l. c. p. 175, 2 probauit.

***90** De svblimitate XII 1 p. 28, 14 V.: *ὁ μὲν οὖν τῶν τεχνογράφων ὅρος ἔμοιγ' οὐ ἀρεστός. „αὔξησίς ἐστι" φασί „λόγος μέγεθος περιτιθεὶς τοῖς ὑποκειμένοις"· δύναται γὰρ ἀμέλει καὶ ὕψους καὶ πάθους καὶ τρόπων εἶναι κοινὸς οὗτος ὅρος, ἐπειδὴ κἀκεῖνα τῷ λόγῳ περιτίθησι ποιόν* 5 *τι μέγεθος. ἐμοὶ δὲ φαίνεται ταῦτα ἀλλήλων παραλλάττειν, ᾗ κεῖται τὸ μὲν ὕψος ἐν διάρματι, ἡ δ' αὔξησις καὶ ἐν πλήθει· δι' ὃ κεῖνο μὲν κἂν νοήματι ἑνὶ πολλάκις, ἡ δὲ πάντως μετὰ ποσότητος καὶ περιουσίας τινὸς ὑφίσταται.* (2) *καὶ ἔστιν ἡ αὔξησις, ὡς τύπῳ περιλαβεῖν, συμπλήρωσις ἀπὸ πάντων* 10 *τῶν ἐμφερομένων τοῖς πράγμασιν μορίων καὶ τόπων, ἰσχυροποιοῦσα τῇ ἐπιμονῇ τὸ κατεσκευα|σμένον, ταύτῃ τῆς πίστεως* 29 V. *διεστῶσα, ὅτι ἡ μὲν τὸ ζητούμενον ἀποδεί* * *

definitionem in u. 2 s exstantem referendam esse ad fr. 45 iam supra p. 27 dixi (cf. etiam Vahlenum ad hunc locum). Pseudolonginum hic ad Caecilium spectare Martens l. c. p. 20 et Coblentz l. c. p. 18 s docent; at Rothstein l. c. p. 11 s, 3 dissentit.

***91** De svblimitate XIII 3 p. 31, 9 V.: . . ὁ Πλάτων (Ὁμηρικώτατος ἐγένετο), ἀπὸ τοῦ Ὁμηρικοῦ κείνου νάματος εἰς αὐτὸν 15 μυρίας ὅσας παρατροπὰς ἀποχετευσάμενος.

cf. Epitome Longini 9 Rh. Gr. I p. 214, 27 Sp. et H.: ὅτι ὁ πρῶτος ἄριστα πρὸς τὴν πεζὴν λέξιν τὸν Ὁμηρικὸν ὄγκον μετενεγκὼν Πλάτων ἐστίν.

de ratione huius fragmenti uide ea, quae ad fr. 89 protuli. ad Caecilium rettulit Marx l. s. p. 175, 2 (cf. etiam p. 203 s); cui non assentit E. Heffermehl *Menekrates von Nysa und die schrift vom erhabenen, Rhein. Mus.* LXI 1906 p. 285—287.

---

11 *μορίων* Portus, *ὁρίων* liber. 13 *ἀποδείκνυσιν* Manutius. 15 *αὑτὸν* Faber, *αὐτὸν* liber.

*92 De sublimitate XIV 3 p. 32, 21 V.: *πλέον δὲ τούτων παρορμητικόν, εἰ προστιθείης „πῶς ἂν ἐμοῦ ταῦτα γράψαντος ὁ μετ' ἐμὲ πᾶς ἀκούσειεν αἰών;" εἰ δέ τις αὐτόθεν φοβοῖτο, μὴ τοῦ* | 33 V. *ἰδίου βίου καὶ χρόνου φθέγξαιτό* 5 *τι ὑπερήμερον, ἀνάγκη καὶ τὰ συλλαμβανόμενα ὑπὸ τῆς τούτου ψυχῆς ἀτελῆ καὶ τυφλὰ ὥσπερ ἀμβλοῦσθαι, πρὸς τὸν τῆς ὑστεροφημίας ὅλως μὴ τελεσφορούμενα χρόνον.*

uerbis in u. 3 ss exstantibus Caecilium respici et acerbe uituperari Martens l. c. p. 21 s Vdalrico de Wilamowitz (Herm. X 1875 p. 340) contradicens ostendit. 2 s haec fortasse Caecilii ipsius uerba sunt.

93 De sublimitate XV 6 p. 36, 1 V.: *καὶ παρὰ μὲν Αἰσχύλῳ παραδόξως τὰ τοῦ Λυκούργου βασίλεια κατὰ τὴν ἐπι-* 10 *φάνειαν τοῦ Διονύσου θεοφορεῖται* (Aeschyl. fr. 58 N.²)

ἐνθουσιᾷ δὴ δῶμα, βακχεύει στέγη,

ὁ δ' Εὐριπίδης τὸ αὐτὸ τοῦθ' ἑτέρως ἐφηδύνας ἐξεφώνησε (Bacch. 726)

πᾶν δὲ συνεβάκχευ' ὄρος.

15 (7) *ἄκρως δὲ καὶ ὁ Σοφοκλῆς ἐπὶ τοῦ θνήσκοντος Οἰδίπου καὶ ἑαυτὸν μετὰ διοσημείας τινὸς θάπτοντος πεφάνταστα*ι (Oed. Col. 1586), *καὶ* (Soph. fr. 480 N.²) *κατὰ τὸν ἀπόπλουν τῶν Ἑλλήνων ἐπὶ τἀχιλλέως προφαινομένου τοῖς ἀναγομένοις ὑπὲρ τοῦ τάφου, ἣν οὐκ οἶδ' εἴ τις ὄψιν* 20 *ἐναργέστερον εἰδωλοποίησε Σιμωνίδου* (fr. 209 Bgk.)· *πάντα δ' ἀμήχανον παρατίθεσθαι.*

de ratione cf. adn. ad fr. 89. in hoc loco Marx l. c. p. 175, 2 ingenium Caecilianum detexit.

Σχήματα 94 De sublimitate XVI 1 p. 38, 3 V.: *αὐτόθι μέντοι καὶ ὁ περὶ σχημάτων ἐφεξῆς τέτακται τόπος· καὶ γὰρ ταῦτ', ἂν ὃν δεῖ σκευάζηται τρόπον, ὡς ἔφην, οὐκ ἂν ἡ τυχοῦσα μεγέ-*

---

14 *συνεβάκχευ'* Porson, *συνεβάκχευεν* liber. 18 *ἐπὶ τἀχιλλέως* Vahlen, *ἔπειτ' ἀχιλλέως* liber. 24 *ὡς ἔφην*] cf. fr. 87 p. 68, 19.

θους εἴη μερίς. οὐ μὴν ἀλλ' ἐπεὶ τὸ πάντα διακριβοῦν πολύεργον ἐν τῷ παρόντι, μᾶλλον δ' ἀπεριόριστον, ὀλίγα τῶν ὅσα μεγαληγορίας ἀποτελεστικὰ τοῦ πιστώσασθαι τὸ προκείμενον ἕνεκα καὶ δὴ διέξιμεν. (2) ἀπόδειξιν ὁ Δη|μοσθένης ὑπὲρ τῶν πεπολιτευμένων εἰσφέρει. τίς δ' ἦν ἡ κατὰ φύσιν χρῆσις αὐτῆς; 'οὐχ ἡμάρτετε, ὦ ⟨ἄνδρες Ἀθηναῖοι⟩, τὸν ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας ἀγῶνα ἀράμενοι· ἔχετε δὲ οἰκεῖα τούτου παραδείγματα· οὐδὲ γὰρ οἱ ἐν Μαραθῶνι ἥμαρτον οὐδ' οἱ ἐν Σαλαμῖνι οὐδ' οἱ ἐν Πλαταιαῖς'. ἀλλ' ἐπειδὴ καθάπερ ἐμπνευσθεὶς ἐξαίφνης ὑπὸ θεοῦ καὶ οἱονεὶ φοιβόληπτος γενόμενος τὸν τῶν ἀριστέων τῆς Ἑλλάδος ὅρκον ἐξεφώνησεν (XVIII 208) 'οὐκ ἔστιν ὅπως ἡμάρτετε, μὰ τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας', φαίνεται δι' ἑνὸς τοῦ ὀμοτικοῦ σχήματος, ὅπερ ἐνθάδε ἀποστροφὴν ἐγὼ καλῶ, τοὺς μὲν προγόνους ἀποθεώσας, ὅτι δεῖ τοὺς οὕτως ἀποθανόντας ὡς θεοὺς ὀμνύναι παριστάνων, τοῖς δὲ κρίνουσι τὸ τῶν ἐκεῖ προκινδυνευσάντων ἐντιθεὶς φρόνημα, τὴν δὲ τῆς ἀποδείξεως φύσιν μεθεστακὼς εἰς ὑπερβάλλον ὕψος καὶ πάθος καὶ ξένων καὶ ὑπερφυῶν ὅρκων ἀξιοπιστίαν, καὶ ἅμα παιώνιόν τινα καὶ ἀλεξιφάρμακον εἰς τὰς ψυχὰς τῶν ἀκουόντων καθιεὶς λόγον, ὡς κουφιζομένους ὑπὸ τῶν ἐγκωμίων μηδὲν ἔλαττον τῇ μάχῃ τῇ πρὸς Φίλιππον ἢ ἐπὶ τοῖς κατὰ Μαραθῶνα καὶ Σαλαμῖνα νικητηρίοις παρίστασθαι φρονεῖν· οἷς πᾶσι τοὺς ἀκροατὰς διὰ τοῦ σχηματισμοῦ συναρπάσας ᾤχετο. (3) καίτοι παρὰ τῷ Εὐπόλιδι τοῦ ὅρκου τὸ σπέρμα φασὶν εὑρῆσθαι (fr. 90 I 279 K.) |

> οὐ γὰρ μὰ τὴν Μαραθῶνι τὴν ἐμὴν μάχην
> χαίρων τις αὐτῶν τοὐμὸν ἀλγυνεῖ κέαρ.

ἔστι δ' οὐ τὸ ὁπωσοῦν τινὰ ὀμόσαι μέγα, τὸ δὲ ποῦ καὶ πῶς

[Margin: 39 V. ὀμοτικὸν σχῆμα — 6 — 10 — 15 — 20 — 25 — 40 V. — 30]

4 ss cf. fr. 60. 5 s cf. fr. 50, 9 s. 13 idem exemplum legitur fr. 61 p. 43, 4 et fr. 61*a* p. 43, 21.

---

6 ἄνδρες Ἀθηναῖοι add. Manutius. 13 ἥμαρτε liber. correctum ex Demosthene. 21 παιώνιον Morus, παιώνειον liber.

καὶ ἐφ' ὧν καιρῶν καὶ τίνος ἕνεκα. ἀλλ' ἐκεῖ μὲν οὐδέν ἐστ' εἰ μὴ ὅρκος, καὶ πρὸς εὐτυχοῦντας ἔτι καὶ οὐ δεομένους παρηγορίας τοὺς Ἀθηναίους· ἔτι δ' οὐχὶ τοὺς ἄνδρας ἀπαθανατίσας ὁ ποιητὴς ὤμοσεν, ἵνα τῆς ἐκείνων ἀρετῆς τοῖς
5 *ἀκούουσιν ἐντέκῃ λόγον ἄξιον, ἀλλ' ἀπὸ τῶν προκινδυνευσάντων ἐπὶ τὸ ἄψυχον ἀπεπλανήθη, τὴν μάχην. παρὰ δὲ τῷ Δημοσθένει πεπραγμάτευται πρὸς ἡττημένους ὁ ὅρκος, ὡς μὴ Χαιρώνειαν ἔτ' Ἀθηναίοις ἀτύχημα φαίνεσθαι, καὶ ταὐτόν, ὡς ἔφην, ἅμα ἀπόδειξίς ἐστι τοῦ μηδὲν ἡμαρτη-*
10 *κέναι, παράδειγμα, ὅρκων πίστις, ἐγκώμιον, προτροπή.* (4) *κἀπειδήπερ ὑπήντα τῷ ῥήτορι 'λέγεις [λέγεις] ἥτταν πολιτευσάμενος, εἶτα νίκας ὀμνύεις;' διὰ ταῦθ' ἑξῆς κανονίζει καὶ δι' ἀσφαλείας ἄγει καὶ ὀνόματα, διδάσκων ὅτι κἀν βακχεύμασι νήφειν ἀναγκαῖον. 'τοὺς*
15 *προκινδυνεύσαντας' φησί 'Μαραθῶνι καὶ τοὺς Σαλαμῖνι καὶ ἐπ' Ἀρτεμισίῳ ναυμαχήσαντας καὶ τοὺς ἐν Πλαταιαῖς παραταξαμένους'. οὐδαμοῦ 'νικήσαντας' εἶπεν, ἀλλὰ πάντῃ τὸ τοῦ τέλους διακέκλοφεν ὄνομα, ἐπειδήπερ ἦν εὐτυχὲς καὶ τοῖς κατὰ Χαιρώνειαν ὑπ-*
20 *εναντίον. διόπερ καὶ τὸν ἀκροατὴν φθάνων εὐθὺς ὑποφέρει 'οὓς ἅπαντας ἔθαψε δημοσίᾳ' φησίν 'ἡ πό-*
42 V. *λις, Αἰσχίνη, οὐχὶ τοὺς κατορθώσαντας μόνους'. ....|..*

XVIII *πεῦσις καὶ ἀπόκρισις*

(1) τί δ' ἐκεῖνα φῶμεν, τὰς πεύσεις τε καὶ ἐρωτήσεις; ἆρα οὐκ αὐταῖς ταῖς τῶν σχημάτων εἰδοποιΐαις παρὰ πολὺ ἐμπρακτότερα
25 καὶ σοβαρώτερα συντείνει τὰ λεγόμενα; 'ἢ βούλεσθε, εἰπέ μοι, περιϊόντες ἀλλήλων πυνθάνεσθαι· λέγεταί τι καινόν; τί γὰρ ἂν γένοιτο τούτου καινότερον ἢ Μακεδὼν ἀνὴρ καταπολεμῶν τὴν Ἑλλάδα; τέθνηκε Φίλιππος; οὐ μὰ Δί' ἀλλ' ἀσθενεῖ. τί δ' ὑμῖν διαφέρει; καὶ γὰρ ἂν οὗτός τι πάθῃ, ταχέως ὑμεῖς ἕτερον Φί-
30 λιππον ποιήσετε' (Demosth. IV 10 s). καὶ πάλιν 'πλέωμεν ἐπὶ Μακεδονίαν;' φησί (Dem. IV 44). 'ποῖ δὴ προσορμιούμεθα; ἤρετό τις. εὑρήσει τὰ σαθρὰ τῶν Φιλίππου πραγμάτων αὐτὸς ὁ πόλεμος'. ἦν δὲ ἁπλῶς ῥηθὲν τὸ πρᾶγμα τῷ παντὶ καταδεέστερον, νυνὶ δὲ τὸ ἔνθουν καὶ ὀξύρροπον τῆς πεύσεως καὶ ἀποκρίσεως

21 s cf. fr. 67*b*, 4 s. 31—33 cf. fr. 59*b* p. 40, 15—16.

---

1 *ἐστ'* Manutius, *ἔτ'* liber. 11 [*λέγεις*] del. Robortellus.

καὶ τὸ πρὸς ἑαυτὸν ὡς πρὸς ἕτερον ἀνθυπαντᾶν οὐ μόνον ὑψηλότερον ἐποίησε τῷ σχηματισμῷ τὸ ῥηθὲν ἀλλὰ καὶ πιστότερον. (2) ἄγει γὰρ τὰ παθητικὰ τότε μᾶλλον, ὅταν αὐτὰ φαίνηται μὴ ἐπιτηδεύειν αὐτὸς ὁ λέγων ἀλλὰ γεννᾶν ὁ καιρός, ἡ δ' ἐρώτησις ἡ εἰς ἑαυτὸν καὶ ἀπόκρισις μιμεῖται τοῦ πάθους τὸ ἐπίκαιρον. 5 σχεδὸν γὰρ ὡς οἱ ὑφ' ἑτέρων ἐρωτώμενοι παροξυνθέντες ἐκ τοῦ παραχρῆμα πρὸς τὸ λεχθὲν ἐναγωνίως καὶ ἀπ' αὐτῆς τῆς ἀληθείας ἀνθυπαντῶσιν, οὕτως τὸ σχῆμα τῆς πεύσεως καὶ ἀποκρίσεως εἰς τὸ δοκεῖν ἕκαστον τῶν ἐσκεμμένων ἐξ ὑπογύου κεκινῆσθαί τε καὶ λέγεσθαι τὸν ἀκροατὴν ἀπάγον καὶ παραλογίζεται. 10 ἔτι τοίνυν (ἓν γάρ τι τῶν ὑψηλοτάτων τὸ Ἡροδότειον πεπίστευται) εἰ οὕτως ἑ * * | 43 V.

XIX *ἀσύνδετα* * * *πλοκα ἐκπίπτει καὶ οἱονεὶ προχεῖται τὰ λεγόμενα, ὀλίγου δεῖν φθάνοντα καὶ αὐτὸν τὸν λέγοντα. 'καὶ συμβαλόντες' φησὶν ὁ Ξενοφῶν* (hist. graec. IV 3, 19) 15 *'τὰς ἀσπίδας ἐωθοῦντο ἐμάχοντο ἀπέκτεινον ἀπέθνησκον'.* (2) *καὶ τὰ τοῦ Εὐρυλόχου* (κ 251—252)

> *ἤλθομεν, ὡς ἐκέλευες, ἀνὰ δρυμά, φαίδιμ' Ὀδυσσεῦ.*
> *εἴδομεν ἐν βήσσῃσι τετυγμένα δώματα καλά.*

τὰ γὰρ ἀλλήλων διακεκομμένα καὶ οὐδὲν ἧσσον κατεσπευσμένα φέρει τῆς ἀγωνίας ἔμφασιν ἅμα καὶ ἐμποδιζούσης τι καὶ συνδιωκούσης. τοιαῦθ' ὁ ποιητὴς ἐξήνεγκε διὰ τῶν ἀσυνδέτων. (1) *ἄκρως δὲ καὶ ἡ ἐπὶ* XX *ταὐτὸ σύνοδος τῶν σχημάτων εἴωθε κινεῖν, ὅταν δύο ἢ τρία οἷον κατὰ συμμορίαν ἀνακιρνάμενα ἀλλήλοις ἐρανίζῃ* 25 *τὴν ἰσχὺν τὴν πειθὼ τὸ κάλλος, ὁποῖα καὶ τὰ εἰς τὸν Μειδίαν* (Dem. XXI 72), *ταῖς ἀναφοραῖς ὁμοῦ καὶ τῇ διατυπώσει συναναπεπλεγμένα τὰ ἀσύνδετα. 'πολλὰ γὰρ ἂν ποιήσειεν ὁ τύπτων, ὧν ὁ παθὼν ἔνια οὐδ' ἂν ἀπαγγεῖλαι δύναιτο ἑτέρῳ, τῷ* 30

26 ss uide adn. ad fr. 71*b*.

---

6 *ὡς οἱ* Faber, *ὅσον* liber. *παροξυνθέντες* Morus, *παροξύνοντες* liber. 12. 13 in lacuna figuras *διατύπωσιν, ἀναφοράν, πολυσύνδετον* tractatas esse Martens l. s. p. 16 et 16, 1 contendit. 20 *ἧσσον* Vahlen, *ἥσσον* liber. 22 *συνδιωκούσης* Faber, *συνδιοικούσης* liber. 25 *συμμορίαν* Manutius, *συμμορίας* liber.

σχήματι, τῷ βλέμματι, τῇ φωνῇ'. (2) εἶθ' ἵνα μὴ ἐπὶ τῶν αὐτῶν ὁ λόγος ἰὼν στῇ (ἐν στάσει γὰρ τὸ ἠρεμοῦν, ἐν ἀταξίᾳ δὲ τὸ πάθος, ἐπεὶ φορὰ ψυχῆς καὶ συγκίνησίς ἐστιν), εὐθὺς ἐπ' ἄλλα μεθήλατο ἀσύνδετα καὶ ἐπαναφοράς·
5 'τῷ σχήματι, τῷ βλέμματι, τῇ φωνῇ, ὅταν ὡς ὑβρίζων, ὅταν ὡς ἐχθρός, ὅταν κονδύλοις, ὅταν ὡς δοῦλον'. οὐδὲν ἄλλο διὰ τούτων ὁ ῥήτωρ ἢ ὅπερ ὁ τύπτων ἐργάζεται, τὴν διάνοιαν τῶν δικαστῶν τῇ ἐπαλλήλῳ πλήττει φορᾷ. (3) εἶτ' ἐντεῦθεν πάλιν ὡς αἱ καταιγίδες ἄλλην ποιού-
44 V. μενος | ἐμβολήν 'ὅταν κονδύλοις, ὅταν ἐπὶ κόρρης'
11 φησί· 'ταῦτα κινεῖ, ταῦτα ἐξίστησιν ἀνθρώπους, ἀήθεις ὄντας τοῦ προπηλακίζεσθαι· οὐδεὶς ἂν ταῦτα ἀπαγγέλλων δύναιτο τὸ δεινὸν παραστῆσαι'. οὐκοῦν τὴν μὲν φύσιν τῶν ἐπαναφορῶν καὶ ἀσυνδέτων
15 πάντη φυλάττει τῇ συνεχεῖ μεταβολῇ· οὕτως αὐτῷ καὶ ἡ τάξις ἄτακτον καὶ ἔμπαλιν ἡ ἀταξία ποιὰν περιλαμβάνει τάξιν.

XXI (1) φέρε οὖν, πρόσθες τοὺς συνδέσμους, εἰ θέλεις, ὡς ποιοῦσιν οἱ Ἰσοκράτειοι 'καὶ μὴν οὐδὲ τοῦτο χρὴ παραλιπεῖν, ὡς πολλὰ ἂν ποιήσειεν ὁ τύπτων, πρῶτον μὲν
20 τῷ σχήματι, εἶτα δὲ τῷ βλέμματι, εἶτά γε μὴν αὐτῇ τῇ φωνῇ', καὶ εἴσῃ κατὰ τὸ ἑξῆς οὕτως παραγράφων, ὡς τοῦ πάθους τὸ συνδεδιωγμένον καὶ ἀποτραχυνόμενον, ἐὰν τοῖς συνδέσμοις ἐξομαλίσῃς εἰς λειότητα, ἄκεντρόν τε προσπίπτει καὶ εὐθὺς ἔσβεσται. (2) ὥσπερ γὰρ
25 εἴ τις συνδήσειε τῶν θεόντων τὰ σώματα τὴν φορὰν αὐτῶν ἀφῄρηται, οὕτως καὶ τὸ πάθος ὑπὸ τῶν συνδέσμων καὶ τῶν ἄλλων προσθηκῶν ἐμποδιζόμενον ἀγανακτεῖ· τὴν γὰρ ἐλευθερίαν ἀπολλύει τοῦ δρόμου καὶ τὸ ὡς ἀπ' ὀργάνου τινὸς ἀφίεσθαι.

XXII
ὑπερβατά

(1) τῆς δὲ αὐτῆς ἰδέας καὶ τὰ ὑπερβατὰ θετέον. ἔστιν δὲ
31 λέξεων ἢ νοήσεων ἐκ τοῦ κατ' ἀκολουθίαν κεκινημένη τάξις καὶ οἱονεὶ * χαρακτὴρ ἐναγωνίου πάθους ἀληθέστατος. ὡς γὰρ οἱ τῷ

5—6. 10—11 uide adn. ad fr. 71*b*.

---

17 *θέλοις* liber (P), *θέλεις* libri deteriores. 28 *ἀπολλύει* Finckh, *ἀπολύει* liber. 32 post *οἱονεὶ* defectum indicauit Vahlen ,auctore Wilamowitzio: deest alterum nomen et trans-

ὄντι ὀργιζόμενοι ἢ φοβούμενοι ἢ ἀγανακτοῦντες ἢ ὑπὸ ζηλοτυ-|πίας ἢ ὑπὸ ἄλλου τινός (πολλὰ γὰρ καὶ ἀναρίθμητα πάθη καὶ 45 V. οὐδ' ἂν εἰπεῖν τις ὁπόσα δύναιτο) ἑκάστοτε παραπίπτοντες ἄλλα προθέμενοι πολλάκις ἐπ' ἄλλα μεταπηδῶσι, μέσα τινὰ παρεμβαλόντες ἀλόγως, εἶτ' αὖθις ἐπὶ τὰ πρῶτα ἀνακυκλοῦντες καὶ πάντη 5 πρὸς τῆς ἀγωνίας, ὡς ὑπ' ἀστάτου πνεύματος, τῇδε κἀκεῖσε ἀγχιστρόφως ἀντισπώμενοι τὰς λέξεις τὰς νοήσεις τὴν ἐκ τοῦ κατὰ φύσιν εἱρμοῦ παντοίως πρὸς μυρίας τροπὰς ἐναλλάττουσι τάξιν, οὕτω παρὰ τοῖς ἀρίστοις συγγραφεῦσι διὰ τῶν ὑπερβατῶν ἡ μίμησις ἐπὶ τὰ τῆς φύσεως ἔργα φέρεται. τότε γὰρ ἡ τέχνη τέ- 10 λειος, ἡνίκ' ἂν φύσις εἶναι δοκῇ, ἡ δ' αὖ φύσις ἐπιτυχής, ὅταν λανθάνουσαν περιέχῃ τὴν τέχνην. ὥσπερ λέγει ὁ Φωκαεὺς Διονύσιος παρὰ τῷ Ἡροδότῳ (VI 11) 'ἐπὶ ξυροῦ γὰρ ἀκμῆς ἔχεται ἡμῖν τὰ πράγματα, ἄνδρες Ἴωνες, εἶναι ἐλευθέροις ἢ δούλοις καὶ τούτοις ὡς δραπέτῃσιν. νῦν ὦν ὑμεῖς ἢν μὲν βούλησθε 15 ταλαιπωρίας ἐνδέχεσθαι, παραχρῆμα μὲν πόνος ὑμῖν, οἷοί τε δὲ ἔσεσθε ὑπερβαλέσθαι τοὺς πολεμίους'. (2) ἐνταῦθ' ἦν τὸ κατὰ τάξιν 'ὦ ἄνδρες Ἴωνες, νῦν καιρός ἐστιν ὑμῖν πόνους ἐπιδέχεσθαι· ἐπὶ ξυροῦ γὰρ ἀκμῆς ἔχεται ἡμῖν τὰ πράγματα'. ὁ δὲ τὸ μὲν 'ἄνδρες Ἴωνες' ὑπερεβίβασεν· προεισέβαλεν οὖν εὐθὺς ἀπὸ τοῦ 20 φόβου, ὡς μηδ' ἀρχὴν φθάνων πρὸς τὸ ἐφεστὼς δέος προσαγορεῦσαι τοὺς ἀκούοντας· ἔπειτα δὲ τὴν τῶν νοημάτων ἀνέστρεψε τάξιν· πρὸ γὰρ τοῦ φῆσαι ὅτι αὐτοὺς δεῖ πονεῖν (τοῦτο γάρ ἐστιν ὃ παρακελεύεται) ἔμπροσθεν ἀποδίδωσι τὴν αἰτίαν δι' ἣν πονεῖν δεῖ, 'ἐπὶ ξυροῦ ἀκμῆς' φήσας 'ἔχεται ἡμῖν τὰ πράγματα', 25 ὡς μὴ δοκεῖν ἐσκεμμένα λέγειν ἀλλ' ἠναγ|κασμένα. (3) ἔτι δὲ 46 V. μᾶλλον ὁ Θουκυδίδης καὶ τὰ φύσει πάντως ἡνωμένα καὶ ἀδιανέμητα ὅμως ταῖς ὑπερβάσεσιν ἀπ' ἀλλήλων ἄγειν δεινότατος. ὁ δὲ Δημοσθένης οὐχ οὕτως μὲν αὐθάδης ὥσπερ οὗτος, πάντων δ' ἐν τῷ γένει τούτῳ κατακορέστατος καὶ πολὺ τὸ ἀγωνιστικὸν 30 ἐκ τοῦ ὑπερβιβάζειν καὶ ἔτι νὴ Δία τὸ ἐξ ὑπογύου λέγειν συν-

27 s cf. fr. 73, 16 s.

---

latum quidem quo definitio absoluatur, cui nomini quae sequuntur appositi loco addita sunt'.

15 *ἡμεῖς* liber, corr. ex Herodoto. 16 *ταλαιπωρίας* Manutius, *ταλαιπωρίαις* liber. 21 *ἀρχὴν* Robortellus, *ἀρχῇ* liber. 22 *ἀνέστρεψε* Finckh, *ἀπέστρεψε* liber.

εμφαίνων καὶ πρὸς τούτοις εἰς τὸν κίνδυνον τῶν μακρῶν ὑπερβατῶν τοὺς ἀκούοντας συνεπισπώμενος· (4) πολλάκις γὰρ τὸν νοῦν ὃν ὥρμησεν εἰπεῖν ἀνακρεμάσας καὶ μεταξὺ ὡς εἰς ἀλλόφυλον καὶ ἀπεοικυῖαν τάξιν ἄλλ' ἐπ' ἄλλοις διὰ μέσου καὶ ἔξωθέν
5 ποθεν ἐπεισκυκλῶν εἰς φόβον ἐμβαλὼν τὸν ἀκροατὴν ὡς ἐπὶ παντελεῖ τοῦ λόγου διαπτώσει καὶ συναποκινδυνεύειν ὑπ' ἀγωνίας τῷ λέγοντι συναναγκάσας, εἶτα παραλόγως διὰ μακροῦ τὸ πάλαι ζητούμενον εὐκαίρως ἐπὶ τέλει που προσαποδούς, αὐτῷ τῷ κατὰ τὰς ὑπερβάσεις παραβόλῳ καὶ ἀκροσφαλεῖ πολὺ μᾶλλον ἐκπλήττει.
10 φειδὼ δὲ τῶν παραδειγμάτων ἔστω διὰ τὸ πλῆθος.

XXIII (1) *τά γε μὴν πολύπτωτα λεγόμενα, ἀθροισμοὶ καὶ μεταβολαὶ καὶ κλίμακες, πάνυ ἀγωνιστικά, ὡς οἶσθα, κόσμου τε καὶ παντὸς ὕψους καὶ πάθους συνεργά.*
ἐναλλάξεις ἀριθμῶν *τί δὲ αἱ τῶν πτώσεων χρόνων προσώπων ἀριθμῶν*
15 *γενῶν ἐναλλάξεις, πῶς ποτε καταποικίλλουσι καὶ ἐπεγείρουσι τὰ ἑρμηνευτικά;* (2) *φημὶ δὲ τῶν κατὰ τοὺς ἀριθμοὺς οὐ μόνα ταῦτα κοσμεῖν, ὁπόσα τοῖς τύποις ἑνικὰ ὄντα τῇ δυνάμει κατὰ τὴν ἀναθεώρησιν πληθυντικὰ εὑρίσκεται· 'αὐτίκα' φησί*
20 *'λαὸς ἀπείρων*
θύννον ἐπ' ἠιόνεσσι διιστάμενοι κελάδησαν',
47 V. *ἀλλ' ἐκεῖνα μᾶλλον παρατηρήσεως ἄξια, ὅτι ἔσθ' ὅπου | προσπίπτει τὰ πληθυντικὰ μεγαλορρημονέστερα καὶ αὐτῷ δοξοκοποῦντα τῷ ὄχλῳ τοῦ ἀριθμοῦ.* (3) *τοιαῦτα παρὰ τῷ Σοφο-*
25 *κλεῖ τὰ ἐπὶ τοῦ Οἰδίπου* (Oed. R. 1403—1408)

ὦ γάμοι, γάμοι,
ἐφύσαθ' ἡμᾶς καὶ φυτεύσαντες πάλιν
ἀνεῖτε ταὐτὸ σπέρμα κἀπεδείξατε
πατέρας ἀδελφοὺς παῖδας αἷμ' ἐμφύλιον,
30 *νύμφας γυναῖκας μητέρας τε χὠπόσα*
αἴσχιστ' ἐν ἀνθρώποισιν ἔργα γίγνεται.

πάντα γὰρ ταῦτα ἓν ὄνομά ἐστιν, Οἰδίπους, ἐπὶ δὲ θατέρου Ἰοκάστη, ἀλλ' ὅμως χυθεὶς εἰς τὰ πληθυντικὰ ὁ ἀριθμὸς συνεπλήθυσε καὶ τὰς ἀτυχίας· καὶ ὡς ἐκεῖνα πεπλεόνασται

---

10 *φειδὼς* liber, *φειδὼ* edunt. 21 *θύννον* Vahlen, qui *θύννον ἐπ'* coniungi putat, *θύννων* liber. 31 *γίνεται* liber.

ἐξῆλθον Ἕκτορές τε καὶ Σαρπηδόνες·
καὶ τὸ Πλατωνικόν, ὃ καὶ ἑτέρωθι παρετεθείμεθα, ἐπὶ τῶν Ἀθηναίων (Menex. p. 245 d)· (4) 'οὐ γὰρ Πέλοπες οὐδὲ Κάδμοι οὐδ' Αἴγυπτοί τε καὶ Δαναοὶ οὐδ' ἄλλοι πολλοὶ φύσει βάρβαροι συνοικοῦσιν ἡμῖν, ἀλλ' αὐτοὶ Ἕλληνες, οὐ μιξοβάρβαροι οἰκοῦμεν' καὶ τὰ ἑξῆς. φύσει γὰρ ἐξακούεται τὰ πράγματα κομπωδέστερα ἀγεληδὸν οὕτως τῶν ὀνομάτων ἐπισυντιθεμένων. . . | . . (1) ἀλλὰ μὴν καὶ τοὐναντίον τὰ ἐκ τῶν πληθυντικῶν εἰς τὰ ἑνικὰ ἐπισυναγόμενα ἐνίοτε ὑψηλοφανέστατα. 'ἔπειθ' ἡ Πελοπόννησος ἅπασα διειστήκει' φησί (Dem. XVIII 18). 'καὶ δὴ Φρυνίχῳ δρᾶμα Μιλήτου ἅλωσιν διδάξαντι εἰς δάκρυα * (Herod. VI 21) ἔπεσον οἱ θεώμενοι. τὸ ἐκ τῶν διῃρημένων εἰς τὰ ἡνωμένα ἐπισυστρέψαι τὸν ἀριθμὸν σωματοειδέστερον. (2) αἴτιον δ' ἐπ' ἀμφοῖν τοῦ κόσμου ταὐτὸν οἶμαι· ὅπου τε γὰρ ἑνικὰ ὑπάρχει τὰ ὀνόματα, τὸ πολλὰ ποιεῖν αὐτὰ παρὰ δόξαν ἐμπαθοῦς, ὅπου τε [ὁπότε] πληθυντικά, τὸ εἰς ἕν τι εὔηχον συγκορυφοῦν τὰ πλείονα διὰ τὴν εἰς τοὐναντίον μεταμόρφωσιν τῶν πραγμάτων ἐν τῷ παραλόγῳ. ὅταν γε μὴν τὰ παρεληλυθότα τοῖς χρόνοις εἰσάγῃς ὡς γινόμενα καὶ παρόντα, οὐ διήγησιν ἔτι τὸν λόγον ἀλλ' ἐναγώνιον πρᾶγμα ποιήσεις. 'πεπτωκὼς δέ τις' φησὶν ὁ Ξενοφῶν (Cyrop. VII 1, 37) 'ὑπὸ τῷ Κύρου ἵππῳ καὶ πατούμενος παίει τῇ μαχαίρᾳ εἰς τὴν γαστέρα τὸν ἵππον· ὁ δὲ σφαδάζων ἀποσείεται τὸν Κῦρον, ὁ δὲ πίπτει'. τοιοῦτος ἐν τοῖς πλείστοις ὁ Θουκυδίδης. (1) ἐναγώνιος δ' ὁμοίως καὶ ἡ τῶν προσώπων ἀντιμετάθεσις καὶ πολλάκις ἐν μέσοις τοῖς κινδύνοις ποιοῦσα τὸν ἀκροατὴν δοκεῖν στρέφεσθαι.

φαίης κ' ἀκμῆτας καὶ ἀτειρέας
ἄντεσθ' ἐν πολέμῳ· ὡς ἐσσυμένως ἐμάχοντο (O 697—698).

καὶ ὁ Ἄρατος (phaen. 287)

μὴ κείνῳ ἐνὶ μηνὶ περικλύζοιο θαλάσσῃ. |

[Margin: 5, 48 V. XXIV, 10, 15, 19, XXV ἐναλλάξεις χρόνων, 24, XXVI προσώπων, 30]

10 cf. fr. 75 *a* p. 58, 18 s. 21 s cf. fr. 71 *a*, 9 s.

---

10 ἔπειθ' ἡ Manutius ex Dem., ἐπειδὴ liber. 12 lacunam indic. Vahlen, qui eam sic supplendam censet ⟨ἔπεσε τὸ θέητρον' ἀντὶ τοῦ⟩ ἔπεσον. 16 τὸ Robortellus, τὰ liber. 17 ἐμπαθοῦς Faber, ἐνπαθοῦς liber. ὅπου τε Manutius, ὅπουτε ὁπότε liber.

49 V. (2) ὡδέ που καὶ ὁ Ἡρόδοτος (II 29) ʻἀπὸ δὲ Ἐλεφαντίνης πόλεως ἄνω πλεύσεαι, καὶ ἔπειτα ἀφίξῃ ἐς πεδίον λεῖον· διεξελθὼν δὲ τοῦτο τὸ χωρίον αὖθις εἰς ἕτερον πλοῖον ἐμβὰς πλεύσεαι δύ' ἡμέρας, ἔπειτα ἥξεις ἐς πόλιν μεγάλην, ᾗ ὄνομα Μερόη'. ὁρᾷς,
5 ὦ ἑταῖρε, ὡς παραλαβών σου τὴν ψυχὴν διὰ τῶν τόπων ἄγει τὴν ἀκοὴν ὄψιν ποιῶν; πάντα δὲ τὰ τοιαῦτα πρὸς αὐτὰ ἀπερειδόμενα τὰ πρόσωπα ἐπ' αὐτῶν ἵστησι τὸν ἀκροατὴν τῶν ἐνεργουμένων. (3) καὶ ὅταν ὡς οὐ πρὸς ἅπαντας ἀλλ' ὡς πρὸς μόνον τινὰ λαλῇς,
10 Τυδείδην δ' οὐκ ἂν γνοίης ποτέροισι μετείη (Ε 85),
ἐμπαθέστερόν τε αὐτὸν ἅμα καὶ προσεκτικώτερον καὶ ἀγῶνος ἔμπλεων ἀποτελέσεις, ταῖς εἰς ἑαυτὸν προσφωνήσεσιν ἐξεγειρό-
XXVII μενον. (1) ἔτι γε μὴν ἔσθ' ὅτε περὶ προσώπου διηγούμενος ὁ συγγραφεὺς ἐξαίφνης παρενεχθεὶς εἰς τὸ αὐτοπρόσωπον ἀντι-
15 μεθίσταται, καὶ ἔστι τὸ τοιοῦτον εἶδος ἐκβολή τις πάθους.

Ἕκτωρ δὲ Τρώεσσιν ἐκέκλετο μακρὸν ἀΰσας·
ʻνηυσὶν ἐπισσεύεσθαι, ἐᾶν δ' ἔναρα βροτόεντα.
ὃν δ' ἂν ἐγὼν ἀπάνευθε νεῶν ἐθέλοντα νοήσω,
αὐτοῦ οἱ θάνατον μητίσομαι' (Ο 346—349).

20 οὐκοῦν τὴν μὲν διήγησιν ἅτε πρέπουσαν ὁ ποιητὴς προσῆψεν ἑαυτῷ, τὴν δ' ἀπότομον ἀπειλὴν τῷ θυμῷ τοῦ ἡγεμόνος ἐξαπίνης οὐδὲν προδηλώσας περιέθηκεν· ἐψύχετο γάρ, εἰ παρενετίθει ʻἔλεγεν δὲ τοῖά τινα καὶ τοῖα ὁ Ἕκτωρ', νυνὶ δ' ἔφθακεν ἄφνω τὸν
50 V. μεταβαίνοντα ἡ τοῦ λόγου μετάβασις. (2) διὸ καὶ ἡ πρό|χρησις
25 τοῦ σχήματος τότε, ἡνίκ' ἂν ὀξὺς ὁ καιρὸς ὢν διαμέλλειν τῷ γράφοντι μὴ διδῷ ἀλλ' εὐθὺς ἐπαναγκάζῃ μεταβαίνειν ἐκ προσώπων εἰς πρόσωπα· ὡς καὶ παρὰ τῷ Ἑκαταίῳ (fr. 353 FHG I 28) ʻΚῆυξ δὲ ταῦτα δεινὰ ποιούμενος αὐτίκα ἐκέλευε τοὺς Ἡρακλείδας ἐπιγόνους ἐκχωρεῖν· οὐ γὰρ ὑμῖν δυνατός εἰμι ἀρήγειν. ὡς μὴ

1 ss cf. fr. 71*a*, 10—12. 5 s cf. fr. 71*a*, 6 s.

---

12. 13 *ἐξεγειρόμενον* Faber, *ἐξεγειρόμενος* liber. 13 *διηγούμένοσ|μένον* liber. 14 *αὐτοπρόσωπον* Tollius, *αὐτὸ πρόσωπον* liber. 20 *πρέπουσαν* Robortellus, *τρέπουσαν* liber. 25 *ἡνίκ' ἂν* Jahn, *ἡνίκα* liber. 28. 29 ,an *Ἡρακλείους ἐπιγόνους*?' Vahlen. 29 *ὑμῖν* Stephanus, *ἡμῖν* liber. *εἰμὴ* liber, *εἰμι* edunt.

ὧν αὐτοί τε ἀπολέεσθε κἀμὲ τρώσετε, ἐς ἄλλον τινὰ δῆμον ἀποίχεσθε'. (3) ὁ μὲν γὰρ Δημοσθένης κατ' ἄλλον τινὰ τρόπον ἐπὶ τοῦ Ἀριστογείτονος ἐμπαθὲς τὸ πολυπρόσωπον καὶ ἀγχίστροφον παρέστακεν. 'καὶ οὐδεὶς ὑμῶν χολήν' φησίν (XXV 27 s) 'οὐδ' ὀργὴν ἔχων εὑρεθήσεται ἐφ' οἷς ὁ βδελυρὸς οὗτος καὶ ἀναιδὴς 5 βιάζεται; ὅς, ὦ μιαρώτατε ἁπάντων, κεκλεισμένης σοι τῆς παρρησίας ⟨οὐ⟩ κιγκλίσιν οὐδὲ θύραις, ἃ καὶ παρανοίξειεν ἄν τις..' ἐν ἀτελεῖ τῷ νῷ ταχὺ διαλλάξας καὶ μόνον οὐ μίαν λέξιν διὰ τὸν θυμὸν εἰς δύο διασπάσας πρόσωπα 'ὅς, ὦ μιαρώτατε' εἶτα τὸν πρὸς τὸν Ἀριστογείτονα λόγον ἀποστρέψας καὶ ἀπολιπεῖν 10 δοκῶν, ὅμως διὰ τοῦ πάθους πολὺ πλέον ἐπέστρεψεν. (4) οὐκ ἄλλως ἡ Πηνελόπη (δ 681—689)

κῆρυξ, τίπτε δέ σε πρόεσαν μνηστῆρες ἀγαυοί;
εἰπέμεναι δμωῇσιν Ὀδυσσῆος θείοιο |
ἔργων παύσασθαι, σφίσι δ' αὐτοῖς δαῖτα πένεσθαι; 51 V
μὴ μνηστεύσαντες, μηδ' ἄλλοθ' ὁμιλήσαντες, 16
ὕστατα καὶ πύματα νῦν ἐνθάδε δειπνήσειαν,
οἳ θάμ' ἀγειρόμενοι βίοτον κατακείρετε πολλόν,
οὐδέ τι πατρῶν
ὑμετέρων τῶν πρόσθεν ἀκούετε, παῖδες ἐόντες, 20
οἷος Ὀδυσσεὺς ἔσκε.

XXVIII *περίφρασις*

(1) καὶ μέντοι περίφρασις ὡς οὐχ ὑψηλοποιόν, οὐδεὶς ἂν οἶμαι διστάσειεν. ὡς γὰρ ἐν μουσικῇ διὰ τῶν παραφώνων καλουμένων ὁ κύριος φθόγγος ἡδίων ἀποτελεῖται, οὕτως ἡ περίφρασις πολλάκις συμφθέγγεται τῇ κυριολογίᾳ καὶ εἰς κόσμον ἐπὶ πολὺ συν- 25 ηχεῖ, καὶ μάλιστ', ἂν μὴ ἔχῃ φυσῶδές τι καὶ ἄμουσον ἀλλ' ἡδέως κεκραμένον. (2) ἱκανὸς δὲ τοῦτο τεκμηριῶσαι καὶ Πλάτων κατὰ τὴν εἰσβολὴν τοῦ ἐπιταφίου (Menex. p. 236 d) 'ἔργῳ μὲν ἡμῖν οἵδ' ἔχουσι τὰ προσήκοντα σφίσιν αὐτοῖς, ὧν τυχόντες πορεύον-

2 ss cf. fr. 142. 4—7 cf. fr. 75 p. 57, 17 s et fr. 75*a* p. 58, 23—25.

1 *ἀπολέεσθε* Cobet, *ἀπόλεσθε* liber. 2 *ἀποίχεσθαι* liber (P), *ἀποίχεσθε* libri deteriores. 4 *χολήν* codd. Dem., *σχολὴν* liber. 7 *οὐ κιγκλίσιν* Manutius ex Dem., *κιγκλίσιν* liber. 12 *ἡ Πηνελόπη* Faber, *ἢ πηνελόπην* liber. 14 *δμωιῆσιν* liber. 15 *σφησι* liber. 20 *ἡὑμετέρων* liber. *ὄντες* liber. 26 *ἡδέως* Manutius, *ἀδεῶς* liber.

ται τὴν εἱμαρμένην πορείαν, προπεμφθέντες κοινῇ μὲν ὑπὸ τῆς πόλεως, ἰδίᾳ δὲ ἕκαστος ὑπὸ τῶν προσηκόντων'. οὐκοῦν τὸν θάνατον εἶπεν εἱμαρμένην πορείαν, τὸ δὲ τετυχηκέναι τῶν νομιζομένων προπομπήν τινα δημοσίαν ὑπὸ τῆς πατρίδος. ἆρα δὴ 5 τούτοις μετρίως ὤγκωσε τὴν νόησιν; ἢ ψιλὴν λαβὼν τὴν λέξιν ἐμελοποίησε καθάπερ ἁρμονίαν τινὰ τὴν ἐκ τῆς περιφράσεως περιχεάμενος εὐμέλειαν; (3) καὶ Ξενοφῶν (Cyrop. I 5, 12) 'πόνον δὲ τοῦ ζῆν ἡδέως ἡγεμόνα νομίζετε, κάλλιστον δὲ πάντων καὶ πολεμικώτατον κτῆμα εἰς τὰς ψυχὰς συγκεκόμισθε· ἐπαινούμενοι 10 γὰρ μᾶλλον ἢ τοῖς ἄλλοις πᾶσι χαίρετε' ἀντὶ τοῦ 'πονεῖν θέλετε' 52 V. 'πόνον | ἡγεμόνα τοῦ ζῆν ἡδέως ποιεῖσθε' εἰπὼν καὶ τἄλλ' ὁμοίως ἐπεκτείνας μεγάλην τινὰ ἔννοιαν τῷ ἐπαίνῳ προσπεριωρίσατο. (4) καὶ τὸ ἀμίμητον ἐκεῖνο τοῦ Ἡροδότου (I 105) 'τῶν δὲ Σκυθέων τοῖς συλήσασιν τὸ ἱερὸν ἐνέβαλεν ἡ θεὸς θήλειαν νοῦσον'.

XXIX (1) ἐπίκηρον μέντοι τὸ πρᾶγμα, ἡ περίφρασις, τῶν ἄλλων πλέον, 16 εἰ μὴ συμμέτρως τινὶ λαμβάνοιτο· εὐθὺς γὰρ ἀβλεμὲς προσπίπτει, κουφολογίας τε ὄζον καὶ παχύτατον. ὅθεν καὶ τὸν Πλάτωνα (δεινὸς γὰρ ἀεὶ περὶ σχῆμα κἄν τισιν ἀκαίρως) ἐν τοῖς Νόμοις λέγοντα (VII p. 801 b) 'ὡς οὔτε ἀργυροῦν δεῖ πλοῦτον οὔτε χρυ- 20 σοῦν ἐν πόλει ἱδρυμένον ἐᾶν οἰκεῖν' διαχλευάζουσιν, „ὡς εἰ πρόβατα" φησίν „ἐκώλυε κεκτῆσθαι, δῆλον ὅτι προβά- 53 V. τειον ἂν καὶ βόειον πλοῦτον ἔλεγεν". . . | . .

XXX (1) ἐπειδὴ ‹Φραστικὸν μέρος› μέντοι ἡ τοῦ λόγου νόησις ἥ τε φράσις τὰ πλείω δι' ἑκατέρου διέπτυκται, ἴθι δή, ἂν τοῦ φραστικοῦ μέρους ᾖ τινα λοιπὰ ἔτι, 25 προσεπιθεασώμεθα. ὅτι μὲν τοίνυν ἡ τῶν κυρίων καὶ μεγαλοπρεπῶν ὀνομάτων ἐκλογὴ θαυμαστῶς ἄγει καὶ κατακηλεῖ τοὺς ἀκούοντας καὶ ὡς πᾶσι τοῖς ῥήτορσι καὶ συγγραφεῦσι κατ' ἄκρον ἐπιτήδευμα, μέγεθος ἅμα κάλλος εὐπίνειαν βάρος ἰσχὺν κράτος ἔτι δὲ γάνωσίν τινα τοῖς λόγοις ὥσπερ ἀγάλμασι καλλίστοις δι' αὑ- 30 τῆς ἐπανθεῖν παρασκευάζουσα καὶ οἱονεὶ ψυχήν τινα τοῖς πράγμασι φωνητικὴν ἐντιθεῖσα, μὴ καὶ περιττὸν ᾖ πρὸς εἰδότας διεξιέναι.

14 uide fr. 66 *a*, 24 s.

---

4 *ἆρα* Manutius, *ἄρα* liber. 21 *φασίν* Manutius, *φησὶν* liber. 23 *δι'* Manutius, *δὲ* liber. 24 *ᾖ* Spengel, *εἰ* liber. 29 *γάνωσίν* anonymus *jen. allg. lit. zeit.* 1810 p. 560, *τ' ἂν ὦσι* liber. 31 *ᾗ* liber.

in hac de figuris disputatione Pseudolonginum Caecilio niti et eum sequi Rothstein l. c. p. 4 s et p. 7—9 (p. 20) confirmauit; cui Brzoska l. c. p. 1180 adstipulatur. praeterea de hoc fragmento uniuerso cf. Martens l. c. p. 13—19, Coblentz l. c. p. 15 s et p. 19—37, Barczat l. c. p. 37 s, Otto l. s. p. 18—20 et p. 42, 1. p. 73, 27—30 Caecilium respici v. de Wilamowitz (Herm. X 1875 p. 338) enucleauit; idem Martens l. c. p. 16, Coblentz l. c. p. 26, Marx l. c. p. 175, 2 (cf. adn. ad fr. 89) indicauerunt. p. 78, 16 ss doctrinam Caecilianam reici Martens l. l. p. 17 (et 19) nos edocuit. p. 82, 15—22 Caecilii dictum referri Martens l. l. p. 10 s, quocum Coblentz l. l. p. 32 s et Hammer (Rh. Gr. I 2 p. 151, 14 adn.) et Roberts (edit. Pseudolong. 1899 p. 222) concinunt, exposuit. p 82, 23—25 Caecilio Rothstein l. c. p. 8 s, 2 attribuit. p. 82, 25—31 Caecilio uindicauerunt Coblentz l. c. p. 60 s et Brzoska l. l. p. 1180.

95 (u. 4—10 = 46 B.; p. 84, 7—13 = 47 B.) De sublimitate XXXI 1 p. 53, 19 V.: * * θρεπτικώτατον καὶ γόνιμον, τὸ δ' Ἀνακρέοντος (fr. 96 Bgk.) 'οὐκέτι Θρηικίης ἐπιστρέφομαι'. ταύτῃ καὶ τὸ τοῦ Θεοπόμπου (fr. 301 FHG I 329) και|νὸν ἐπαινετόν· διὰ τὸ ἀνάλογον ἔμοι γε σημαντικώτατα ἔχειν δοκεῖ· ὅπερ ὁ Κεκίλιος οὐκ οἶδ' ὅπως καταμέμφεται. 'δεινὸς ὤν' φησίν 'ὁ Φίλιππος ἀναγκοφαγῆσαι ⟨τὰ⟩ πράγματα'. ἔστιν ἄρ' ὁ ἰδιωτισμὸς ἐνίοτε τοῦ κόσμου παρὰ πολὺ ἐμφανιστικώτερον· ἐπιγινώσκεται γὰρ αὐτόθεν ἐκ τοῦ κοινοῦ βίου, τὸ δὲ σύνηθες ἤδη πιστότερον. οὐκοῦν ἐπὶ τοῦ τὰ αἰσχρὰ καὶ ῥυπαρὰ τλημόνως καὶ μεθ' ἡδονῆς ἕνεκα πλεονεξίας καρτεροῦντος τὸ ἀναγκοφαγεῖν τὰ πράγματα ἐναργέστατα παρείληπται.

[marg.: περὶ μεταφορῶν; 54 V.; 5; 10]

3 θρηκίης liber. 5 καινὸν ἐπαινετόν Vahlen in secunda editione, καὶ τὸν ἐπήνετον liber et Vahlen in tertia ed.; ‚fuitne καὶ τῶν ἐπαινετῶν?' Vahlen. 8 τὰ add. Morus.

(2) ὧδέ πως ἔχει καὶ τὰ Ἡροδότεια (VI 75) ‘ὁ Κλεο-
μένης’ φησί ‘μανεὶς τὰς ἑαυτοῦ σάρκας ξιφιδίῳ
κατέτεμεν εἰς λεπτά, ἕως ὅλον καταχορδεύων ἑαυ-
τὸν διέφθειρεν’, καὶ (VII 181) ‘ὁ Πύθης ἕως τοῦδε
5 ἐπὶ τῆς νεὼς ἐμάχετο, ἕως ἅπας κατεκρεουργήθη’.
ταῦτα γὰρ ἐγγὺς παραξύει τὸν ἰδιώτην, ἀλλ' οὐκ ἰδιω-
XXXII τεύει τῷ σημαντικῶς. (1) περὶ δὲ πλήθους καὶ με-
ταφορῶν ὁ μὲν Κεκίλιος ἔοικε συγκατατίθεσθαι
τοῖς δύο ἢ τὸ πλεῖστον τρεῖς ἐπὶ ταὐτοῦ νομο-
10 θετοῦσι τάττεσθαι· ὁ γὰρ Δημοσθένης ὅρος καὶ
55 V. τῶν τοιούτων, ὁ τῆς χρείας δὲ και|ρός· ἔνθα τὰ
πάθη χειμάρρου δίκην ἐλαύνεται, καὶ τὴν πολυπλή-
θειαν αὐτῶν ὡς ἀναγκαίαν ἐνταῦθα συνεφέλκεται.
(2) ‘ἄνθρωποι’ φησί (Dem. XVIII 296) ‘μιαροὶ καὶ κόλα-
15 κες, ἠκρωτηριασμένοι τὰς ἑαυτῶν ἕκαστοι πατρίδας,
τὴν ἐλευθερίαν προπεπωκότες πρότερον Φιλίππῳ,
νυνὶ δὲ Ἀλεξάνδρῳ, τῇ γαστρὶ μετροῦντες καὶ τοῖς
αἰσχίστοις τὴν εὐδαιμονίαν, τὴν δ' ἐλευθερίαν καὶ τὸ
μηδένα ἔχειν δεσπότην, ἃ τοῖς πρότερον Ἕλλησιν
20 ὅροι τῶν ἀγαθῶν ἦσαν καὶ κανόνες, ἀνατετροφότες’.
ἐνταῦθα τῷ πλήθει τῶν τροπικῶν ὁ κατὰ τῶν προδοτῶν
ἐπιπροσθεῖ τοῦ ῥήτορος θυμός. (3) διόπερ ὁ μὲν Ἀριστοτέλης
(fr. 131 Rose; cf. rhet. III 7 p. 1408^{b} 1 ss) καὶ ὁ Θεόφρα-
στος μειλίγματά φασί τινα τῶν θρασειῶν εἶναι ταῦτα
25 μεταφορῶν, τὸ ‘ὡσπερεὶ’ φάναι καὶ ‘οἱονεὶ’ καὶ ‘εἰ
χρὴ τοῦτον εἰπεῖν τὸν τρόπον’ καὶ ‘εἰ δεῖ παρακιν-
δυνευτικώτερον λέξαι’· ἡ γὰρ ὑποτίμησις, φασίν, ἰᾶ-
ται τὰ τολμηρά· (4) ἐγὼ δὲ καὶ ταῦτα μὲν ἀποδέχομαι, ὅμως
δὲ πλήθους καὶ τόλμης μεταφορῶν, ὅπερ ἔφην κἀπὶ
30 τῶν σχημάτων, τὰ εὔκαιρα καὶ σφοδρὰ πάθη καὶ τὸ γενναῖον

22—28 referendi sunt ad fr. 47 (cf. Vahleni adn. ad l. s.).

---

7 post καὶ lacunam non esse Rothstein l. s. p. 5 s ostendit. 9 τοῖς Robortellus, τοὺς liber. 22 ἐπιπροσθεῖ Robortellus, ἐπίπροσθε liber. 24 θρασειῶν Faber, θρασέων liber. 25 τὸ Spengel, τὰ liber. 29 κἀπὶ Pearcius, κάπειτα liber.

ὕψος εἶναί φημι ἴδιά τινα ἀλεξιφάρμακα, ὅτι τῷ ῥοθίῳ τῆς φορᾶς ταυτὶ πέφυκεν ἅπαντα τἄλλα παρασύρειν καὶ προωθεῖν, μᾶλλον δὲ καὶ ὡς ἀναγκαῖα πάντως εἰσ|πράττεσθαι 56 V. τὰ παράβολα, καὶ οὐκ ἐᾷ τὸν ἀκροατὴν σχολάζειν περὶ τὸν τοῦ πλήθους ἔλεγχον διὰ τὸ συνενθουσιᾶν τῷ λέγοντι. 5 (5) ἀλλὰ μὴν ἔν γε ταῖς τοπηγορίαις καὶ διαγραφαῖς οὐκ ἄλλο τι οὕτως κατασημαντικὸν ὡς οἱ συνεχεῖς καὶ ἐπάλληλοι τρόποι. δι' ὧν καὶ παρὰ Ξενοφῶντι (memor. I 4, 5) ἡ τἀνθρωπίνου σκήνους ἀνατομὴ πομπικῶς καὶ ἔτι μᾶλλον ἀναζωγραφεῖται θείως παρὰ τῷ Πλάτωνι (Tim. p. 69 d). τὴν 10 μὲν κεφαλὴν αὐτοῦ φησιν ἀκρόπολιν, ἰσθμὸν δὲ μέσον | διῳκοδομῆσθαι μεταξὺ τοῦ στήθους τὸν αὐχένα, 57 V. σφονδύλους τε ὑπεστηρῖχθαί φησιν οἷον στρόφιγγας (cf. Tim. p. 74 a) καὶ τὴν μὲν ἡδονὴν ἀνθρώποις εἶναι κακοῦ δέλεαρ (cf. Tim. p. 69 d), γλῶσσαν δὲ γεύσεως δο- 15 κίμιον· ἄναμμα δὲ τῶν φλεβῶν τὴν καρδίαν (cf. Tim. p. 65 c) καὶ πηγὴν τοῦ περιφερομένου σφοδρῶς αἵματος, εἰς τὴν δορυφορικὴν οἴκησιν κατατεταγμένην· τὰς δὲ διαδρομὰς τῶν πόρων ὀνομάζει στενωπούς· 'τῇ δὲ πηδήσει τῆς καρδίας ἐν τῇ τῶν δεινῶν προσδοκίᾳ 20 καὶ τῇ τοῦ θυμοῦ ἐπεγέρσει, ἐπειδὴ διάπυρος ἦν, ἐπικουρίαν μηχανώμενοι' φησί (Tim. p. 70 c) 'τὴν τοῦ πλεύμονος ἰδέαν ἐνεφύτευσαν, μαλακὴν καὶ ἄναιμον καὶ σήραγγας ἐντὸς ἔχουσαν οἷον μάλαγμα, | ἵν' ὁ θυμὸς 58 V. ὁπότ' ἐν αὐτῇ ζέσῃ, πηδῶσα εἰς ὑπεῖκον μὴ λυμαίνηται'. 25 καὶ τὴν μὲν τῶν ἐπιθυμιῶν οἴκησιν προσεῖπεν ὡς γυναικωνῖτιν, τὴν τοῦ θυμοῦ δὲ ὥσπερ ἀνδρωνῖτιν· τόν γε μὴν σπλῆνα τῶν ἐντὸς μαγεῖον, 'ὅθεν πληρούμενος τῶν ἀποκαθαιρομένων μέγας καὶ ὕπουλος αὔξεται' (Tim. p. 72 c). 'μετὰ δὲ ταῦτα σαρξὶ πάντα' φησί (Tim. 30 p. 74 b et p. 74 d) 'κατεσκίασαν, προβολὴν τῶν ἔξωθεν τὴν σάρκα, οἷον τὰ πιλήματα, προθέμενοι'· νομὴν δὲ

---

1 ἀλεξιφάρκακα liber. 15 κακὸν liber, corr. Vahlen ex Plat. 22 φησί Tollius, φασὶ liber. 23 ἐνεφύτευσαν Manutius ex Plat., ἐνεφύτευσε liber. 28 μαγεῖον Is. Vossius, μάγειον liber superscripto ρεῖ m. rec. 30 φησί Robortellus, φύσιν liber. 32 πιλήματα Toupius, πηδήματα liber.

σαρκῶν ἔφη (Tim. p. 80e) τὸ αἷμα· 'τῆς δὲ τροφῆς ἕνεκα' φησί (cf. Tim. p. 77c) 'διωχέτευσαν τὸ σῶμα, τέμνοντες ὥσπερ ἐν κήποις ὀχετούς, ὡς ἔκ τινος νάματος ἐπιόντος, ἀραιοῦ (cf. Tim. p. 78e) ὄντος αὐλῶνος τοῦ σώματος,
5 τὰ τῶν φλεβῶν ῥέοι νάματα'. ἡνίκα δὲ ἡ τελευτὴ
59 V. παραστῇ, λύεσθαί φησι (Tim. p. 85e) τὰ τῆς ψυ|χῆς οἱονεὶ νεὼς πείσματα, μεθεῖσθαί τε αὐτὴν ἐλευθέραν. (6) ταῦτα καὶ τὰ παραπλήσια μυρί' ἄττα ἐστὶν ἑξῆς· ἀπόχρη δὲ τὰ δεδηλωμένα, ὡς μεγάλαι τε φύσιν εἰσὶν
10 αἱ τροπικαί, καὶ ὡς ὑψηλοποιὸν αἱ μεταφοραί, καὶ ὅτι οἱ παθητικοὶ καὶ φραστικοὶ κατὰ τὸ πλεῖστον αὐταῖς χαίρουσι
69 V. τόποι. . . . . . | . . .

XXXVII *παραβολαὶ καὶ εἰκόνες* ταῖς δὲ μεταφοραῖς γειτνιῶσιν . . αἱ παραβολαὶ καὶ εἰκόνες, ἐκείνῃ μόνον παραλλάττουσαι * *

XXXVIII *ὑπερβολαί* * *στοι καὶ αἱ τοιαῦται ([Demosth.] VII 45) 'εἰ μὴ τὸν ἐγκέ-
16 φαλον ἐν ταῖς πτέρναις καταπεπατημένον φορεῖτε'. διόπερ εἰ-
70 V. δέναι χρὴ τὸ μέ|χρι ποῦ παροριστέον ἕκαστον· τὸ γὰρ ἐνίοτε περαιτέρω προεκπίπτειν ἀναιρεῖ τὴν ὑπερβολὴν καὶ τὰ τοιαῦτα ὑπερτεινόμενα χαλᾶται, ἔσθ' ὅτε δὲ καὶ εἰς ὑπεναντιώσεις ἀντι-
71 V. περιΐσταται. . . . . | . . . (6) αἱ δ' ὑπερβολαὶ καθάπερ ἐπὶ τὸ μεῖζον,
21 οὕτως καὶ ἐπὶ τοὔλαττον, ἐπειδὴ κοινὸν ἀμφοῖν ἡ ἐπίτασις· καί πως ὁ διασυρμὸς ταπεινότητός ἐστιν αὔξησις.

15 ss cf. fr. 139, 5—10 (uide Vahleni adn. ad l. s.).

in hoc toto loco Caeciliana inesse Rothstein l. c. p. 6 s et p. 8 s (p. 20) ostendit; cui adstipulatus est Brzoska l. c. p. 1180. p. 84, 14—28 Angermann l. c. p. 48 s et p. 49, 1 ad Caecilium reduxit. p. 84, 22—28 Coblentz quoque l. c. p. 64 et Otto l. s. p. 42, 1 Caecilio uindicauerunt. p. 85, 8 ss ex Caecilio sumptos esse Marx l. c. p. 175, 2 docet (cf. adn. ad fr. 89), Hefermehl *Rhein. Mus.* LXI p. 287 plane negat. p. 86, 15 ss Martens l. c. p. 19, Coblentz l. c. p. 67, Brzoska l. c. p. 1180 Caecilio attribuerunt. p. 86, 22 Caecilianam doctrinam redolere Coblentzio l. c. p. 21 s uidetur. de p. 84, 1 — 85, 7 egit Rothstein l. c. p. 5—7.

---

2 διοχέτευσαν liber.

***96** De svblimitate XVII 2 p. 41, 17 V.: *σχεδὸν γὰρ ὥσπερ καὶ τἀμυδρὰ φέγγη ἐναφανίζεται τῷ ἡλίῳ περιαυγούμενα, οὕτω τὰ τῆς ῥητορικῆς σοφίσματα ἐξαμαυροῖ περιχυθὲν πάντοθεν τὸ μέγεθος.* (3) *οὐ πόρρω δ' ἴσως τούτου καὶ ἐπὶ τῆς ζωγραφίας τι συμβαίνει· ἐπὶ γὰρ τοῦ αὐτοῦ κειμένων ἐπιπέδου παραλλήλων ἐν χρώμασι τῆς σκιᾶς τε καὶ τοῦ φωτός, ὅμως προϋπαντᾷ τε τὸ φῶς ταῖς ὄψεσι καὶ οὐ μόνον ἔξοχον ἀλλὰ καὶ ἐγγυτέρω παρὰ πολὺ φαίνεται.* 5

ad u. 1—3 cf. fr. 96*a*, ad u. 5 ss cf. fr. 96*b*, ubi Quintiliani uerba similia exstant. omnes hos locos Coblentz l. s. p. 60 s, Brzoska l. c. p. 1180, Angermann l. c. p. 50 Caecilio uindicauerunt.

***96a** Qvintil. VIII 5, 29: . . . *ut in sole sidera ipsa desinunt cerni.* 10

uide, quae ad fr. 96, 1—3 notaui.

***96b** Qvintil. VIII 5, 26: *nec pictura, in qua nihil circumlitum est, eminet.*

uide adnot. ad fr. 96, 5 ss.

97 De svblimitate XXXIX 1 p. 71, 19 V.: . . *οὐ μόνον ἐστὶ πειθοῦς καὶ ἡδονῆς ἡ ἁρμονία φυσικὸν ἀνθρώποις ἀλλὰ καὶ μεγαληγορίας καὶ πάθους θαυμαστόν* 15 *τι ὄρ|γανον.* (2) *οὐ γὰρ αὐλὸς μὲν ἐντίθησίν τινα πάθη* 72 V. *τοῖς ἀκροωμένοις καὶ οἷον ἔκφρονας καὶ κορυβαντιασμοῦ πλήρεις ἀποτελεῖ, καὶ βάσιν ἐνδούς τινα ῥυθμοῦ πρὸς ταύτην ἀναγκάζει βαίνειν ἐν ῥυθμῷ καὶ συνεξομοιοῦσθαι τῷ μέλει τὸν ἀκροατήν, κἂν ἄμουσος ᾖ* 20 *παντάπασι, καὶ νὴ Δία φθόγγοι κιθάρας, οὐδὲν ἁπλῶς*

---

7. 8 *καὶ οὐ μόνον* Victorius, *καιόμενον* liber. 15 *μεγαληγορίας* Tollius, *μετ' ἐλευθερίας* liber. 16 *ἐντίθησίν* Vahlen, *ἐπιτίθησιν* liber. 19 *ἀναγκάζει* Manutius, *ἀναγκάσει* liber. 20 *ἄμουσος ᾖ* Boivinus, *ἄλλους ὅση* liber.

σημαίνοντες, ταῖς τῶν ἤχων μεταβολαῖς καὶ τῇ πρὸς ἀλλήλους κρούσει καὶ μίξει τῆς συμφωνίας θαυμαστὸν ἐπάγουσι πολλάκις, ὡς ἐπίστασαι, θέλγητρον, (3) *καίτοι ταῦτα [τὰ] εἴδωλα καὶ μιμήματα νόθα ἐστὶ πειθοῦς,* 5 *οὐχὶ τῆς ἀνθρωπείας φύσεως, ὡς ἔφην, ἐνεργήματα γνήσια, κτλ.*

admodum similia Quintilianus (fr. 97*a*) scribit. in utroque loco Caecilium in usum uocari Coblentz l. s. p. 68 (cf. etiam Vahleni adnot. ad h. l.) putat.

97 a Qvintil. IX 4, 9: *ideoque eruditissimo cuique persuasum est ualere eam (compositionem) plurimum non ad delectationem modo sed ad motum quoque animorum.* (10) *primum quia nihil* 10 *intrare potest in affectus, quod in aure uelut quodam uestibulo statim offendit, deinde quod natura ducimur ad modos. neque enim aliter eueniret, ut illi quoque organorum soni, quamquam uerba non exprimunt, in alios tamen atque alios motus ducerent auditorem.*

15 ***98** De svblimitate XLIII 3 p. 78, 3 V.: *ὥσπερ γὰρ εἴ τις ἐπ' αὐτῶν ἐκείνων τῶν προκοσμημάτων μεταξὺ τῶν χρυσίων καὶ λιθοκολλήτων κρατήρων καὶ ἀργύρου κοίλου σκηνῶν τε ὁλοχρύσων καὶ ἐκπωμάτων φέρων μέσα ἔθηκεν θυλάκια καὶ σακκία ἀπρεπὲς ἂν ἦν τῇ προσόψει* 20 *τὸ ἔργον, οὕτω καὶ τῆς ἑρμηνείας τὰ τοιαῦτα ὀνόματα αἴσχη καὶ οἱονεὶ στίγματα καθίσταται παρὰ καιρὸν ἐγκατατραττόμενα.*

hunc locum ex Caecilio haustum esse primus Coblentz l. c. p. 63, cui Brzoska l. c. p. 1180 assensus est, coniecit.

---

3 *ὡς ἐπίστασαι* Faber, *ὡς ἐπίστασιν* liber. 4 *τὰ* del. Morus.

VI

ΤΙΝΙ ΔΙΑΦΕΡΕΙ Ο ΑΤΤΙΚΟΣ ΖΗΛΟΣ ΤΟΥ ΑΣΙΑΝΟΥ

Τίνι διαφέρει ὁ Ἀττικὸς ζῆλος τοῦ Ἀσιανοῦ SVIDAS.

praeter titulum ne uestigium quidem memoriae traditum est. cf. etiam E. Norden, *die antike kunstprosa* p. 69 s, 1.

VII

ΠΕΡΙ ΤΟΥ ΧΑΡΑΚΤΗΡΟΣ ΤΩΝ ΔΕΚΑ ΡΗΤΟΡΩΝ

Περὶ τοῦ χαρακτῆρος τῶν δέκα ῥητόρων SVIDAS.

Α'. Ἀντιφῶν

99 (= 1 B.) Ps. PLVTARCHVS de uitis X orat. p. 832e (cf. Photius bibl. cod. 259 p. 486a 4; 485b 10): Κεκίλιος δ' ἐν τῷ περὶ αὐτοῦ συντάγματι Θουκυδίδου τοῦ συγγραφέως καθηγητὴν τεκμαίρεται γεγονέναι, ἐξ ὧν ἐπαινεῖται παρ' αὐτῷ ὁ Ἀντιφῶν. 5

ἔστι δ' ἐν τοῖς λόγοις ἀκριβὴς καὶ πιθανός, καὶ δεινὸς περὶ τὴν εὕρεσιν, καὶ ἐν τοῖς ἀπόροις τεχνικός, καὶ ἐπιχειρῶν ἐξ ἀδήλου, καὶ ἐπὶ τοὺς νόμους καὶ τὰ πάθη τρέπων τοὺς λόγους, τοῦ εὐπρεποῦς μάλιστα στοχαζόμενος.

2—5 cf. fr. 99 *a* et fr. 156 *a*, 8 s. 6—9 BVRCKHARDT et BLASS l. s. I p. 118 (et in ed. Antiph. p. XXXIV adn. 8) ad Caecilium rettulerunt.

---

4 *μαθητὴν* libri, *καθηγητὴν* Wyttenbach, *διδάσκαλον* Turnebus et alii.

99a Marcellinus uita Thucydidis 22 p. 190, 108 Westerm. = Thuc. p. 4, 8 Hude: *ἤκουσε δὲ (ὁ Θουκυδίδης) διδασκάλων Ἀναξαγόρου μὲν ἐν φιλοσόφοις, ὅθεν, φησὶν ὁ Ἄντυλλος, καὶ ἄθεος ἠρέμα ἐνομίσθη, τῆς ἐκεῖθεν θεωρίας ἐμ-*
5 *φορηθείς, Ἀντιφῶντος δὲ ῥήτορος, δεινοῦ τὴν ῥητορικὴν ἀνδρός, οὗ καὶ μέμνηται ἐν τῇ ὀγδόῃ* (VIII 68) *ὡς αἰτίου τῆς καταλύσεως τῆς δημοκρατίας καὶ τῆς τῶν τετρακοσίων καταστάσεως. ὅτι δὲ μετὰ τὸν θάνατον τιμωρούμενοι τὸν Ἀντιφῶντα οἱ Ἀθηναῖοι ἔρριψαν*
10 *ἔξω τῆς πόλεως τὸ σῶμα σεσιώπηκεν, ὡς διδασκάλῳ χαριζόμενος· λέγεται γὰρ ὡς ἔρριψαν αὐτοῦ τὸ σῶμα οἱ Ἀθηναῖοι ὡς αἰτίου τῆς μεταβολῆς τῆς δημοκρατίας.*

hic locus referendus est ad fr. 99, 2—5 et ad fr. 156 *a*, 8 s. nonnulla ad eum Blass l. c. I p. 97 attulit (cf. etiam Eug. Petersen, de uita Thucydidea, Dorp. 1873 p. 9).

100 (= 2 B.) Ps. Plutarchus de uitis X orat. p. 833 c (cf. Photius bibl. cod. 259 p. 485b 40): φέρον-
15 ται δὲ τοῦ ῥήτορος λόγοι ἑξήκοντα, ὧν κατεψευσμένους φησὶ Κεκίλιος εἶναι τοὺς εἴκοσι πέντε.

101 (= 3, 1—4 B.) Ps. Plutarchus de uitis X orat. p. 833 d: ἐπαινεῖται δ' αὐτοῦ μάλιστα ὁ Περὶ Ἡρῴδου καὶ ⟨ὁ⟩ Πρὸς Ἐρασίστρατον περὶ τῶν ταῶν καὶ ὁ Περὶ τῆς εἰσαγγελίας, ὃν ὑπὲρ
20 ἑαυτοῦ γέγραφεν, καὶ ὁ Πρὸς Δημοσθένην τὸν στρατηγὸν παρανόμων.

quae sequuntur, non recepi, cum ex alio fonte ea compilata esse appareat.

---

7 et 12 *δημοκρατίας* edunt, *δημοκρατείας* liber. 18 *ἡροδότου* libri, corr. Palmerius. *ὁ* add. Westermann et Duebner. 19 *ταῶν* corr. Ruhnken, *ἰδεῶν* libri. *ἀγγελίας* libri, corr. Xylander.

102 (= 4 B.) Ps. Plvtarchvs de uitis X orat. p. 833 d: Ψήφιcμα ἐπὶ Θεοπόμπου ἄρχοντος, ἐφ' οὗ οἱ τετρακόσιοι κατελύθηcαν [ψήφιcμα], καθ' ὃ ἔδοξεν e Ἀντιφῶντα κριθῆναι, ὃ Κεκίλιος παρατέθειται· „Ἔδοξε τῇ βουλῇ, μιᾷ καὶ εἰκοστῇ τῆς πρυτανείας, Δη- 5 μόνικος Ἀλωπεκῆθεν ἐγραμμάτευε, Φιλόστρατος Παλληνεὺς ἐπεστάτει, Ἄνδρων εἶπε. περὶ τῶν ἀνδρῶν οὓς ἀποφαίνουσιν οἱ στρατηγοὶ πρεσ- βευομένους εἰς Λακεδαίμονα ἐπὶ κακῷ τῆς πό- λεως τῆς Ἀθηναίων καὶ [ἐκ] τοῦ στρατοπέδου 10 πλεῖν ἐπὶ πολεμίας νεὼς καὶ πεζεῦσαι διὰ Δε- κελείας, Ἀρχεπτόλεμον καὶ Ὀνομακλέα καὶ Ἀντι- φῶντα συλλαβεῖν καὶ ἀποδοῦναι εἰς τὸ δικα- f στήριον, ὅπως δῶσι δίκην· παρασχόντων δ' αὐτοὺς οἱ στρατηγοὶ καὶ ἐκ τῆς βουλῆς οὕστινας ἂν 15 δοκῇ τοῖς στρατηγοῖς προσελομένοις μέχρι δέκα, ὅπως ἂν περὶ παρόντων γένηται ἡ κρίσις· προσ- καλεσάσθων δ' αὐτοὺς οἱ θεσμοθέται ἐν τῇ αὔριον ἡμέρᾳ, καὶ εἰσαγόντων, ἐπειδὰν αἱ κλήσεις ἐξ- ήκωσιν, εἰς τὸ δικαστήριον περὶ προδοσίας. κατ- 20 ηγορεῖν ⟨δὲ⟩ τοὺς ᾑρημένους συνηγόρους καὶ τοὺς στρατηγοὺς καὶ ἄλλος ἄν τις βούληται· ὅτου δ' ἂν καταψηφίσηται τὸ δικαστήριον, περὶ αὐτοῦ ποιεῖν κατὰ τὸν νόμον, ὃς κεῖται περὶ τῶν προδόντων". τούτῳ ὑπογέγραπται τῷ δόγματι 834

---

3 *ψήφισμα* del. Duebner. *ἔδοξεν* Reiske, *ἔδοξαν* libri. 5 *πρυτανείας*] tribus nomen deesse monuit Schoemann. 7 *Παλ-ληνεὺς* Taylor, *πελληνεὺς* libri. 10 *ἐκ* del. Reiske. 16 *προσ-ελομένοις* Reiske, *προσελομένους* libri. 17. 18 *προσκαλεσάσθων* Herwerden et Blass, *προσκαλεσάσθωσαν* libri. 21 *δὲ* add. Emperius. *ᾑρημένους* Turnebus, *εἰρημένους* libri. 25 *τούτῳ* Turnebus, *τοῦτο* libri.

ἡ καταδίκη· „Προδοσίας ὦφλον Ἀρχεπτόλεμος Ἱπποδάμου Ἀγρυλῆθεν παρών, Ἀντιφῶν Σωφίλου Ῥαμνούσιος παρών· τούτοιν ἐτιμήθη τοῖς ἕνδεκα παραδοθῆναι καὶ τὰ χρήματα δημόσια
5 εἶναι καὶ τῆς θεοῦ τὸ ἐπιδέκατον· καὶ τὼ οἰκία κατασκάψαι αὐτοῖν καὶ ὅρους θεῖναι ⟨ἐπὶ⟩ τοῖν οἰκοπέδοιν, ἐπιγράψαντας ‚Ἀρχεπτολέμου καὶ Ἀντιφῶντος τοῖν προδόταιν'· τὼ δὲ δημάρχω ἀποφῆναι τὴν οὐσίαν αὐτοῖν· καὶ μὴ ἐξεῖναι
b 10 θάψαι Ἀρχεπτόλεμον καὶ Ἀντιφῶντα Ἀθήνησι μηδ' ὅσης Ἀθηναῖοι κρατοῦσι· καὶ ἄτιμον εἶναι Ἀρχεπτόλεμον καὶ Ἀντιφῶντα καὶ γένος τὸ ἐκ τούτοιν, καὶ νόθους καὶ γνησίους· καὶ ἐάν ⟨τις⟩ ποιήσηταί τινα τῶν ἐξ Ἀρχεπτολέμου καὶ Ἀντι-
15 φῶντος, ἄτιμος ἔστω ὁ ποιησάμενος. ταῦτα δὲ γράψαι ἐν στήλῃ χαλκῇ, ⟨καὶ⟩ ἧπερ ἂν καὶ τὰ ψηφίσματα τὰ περὶ Φρυνίχου, καὶ τοῦτο θέσθαι".

de fonte Caecilii in diuersas partes disseruerunt P. Krech (de Crateri *ψηφισμάτων συναγωγῇ* et de locis aliquot Plutarchi ex ea petitis, Diss. Berol. 1888, p. 20) et Keil (Herm. XXX p. 213 s et 219 ss); cf. etiam Susemihl *epikritisches zu Heliodoros dem periegeten,* Philologus LIX 1900 p. 615 s.

103 (= 5 B.) Photius bibl. cod. 259 p. 485ᵇ 14: ὁ μέντοι Σικελιώτης Κεκίλιος μὴ κεχρῆσθαί φησι
20 τὸν ῥήτορα τοῖς τῆς διανοίας σχήμασιν, ἀλλὰ κατευθὺ αὐτῷ καὶ ἀπλάστους τὰς νοήσεις ἐκφέρεσθαι· τροπὴν

19 — p. 93, 10 uide fr. 103 *a*, quod similia continet.

---

1 *ὦ φίλον* libri, corr. Turnebus. 6 *αὐτοῖν* Blass, *αὐτῶν* libri. *ἐπὶ* add. Blass. 9 *ἀποφῆναι τὴν οὐσίαν αὐτοῖν* Westermann, *ἀποφῆναί τε οἰκίαν ἐς τὸν* libri. 13 *τις* add. Blass. 16 *καὶ* add. Westermann. 17 *τούτου* libri, *τοῦτο* Reiske.

δὲ ἐκ τοῦ πανούργου καὶ ἐξάλλαξιν οὔτε ζητῆσαι τὸν
ἄνδρα οὔτε χρήσασθαι, ἀλλὰ δι' αὐτῶν δὴ τῶν νοημά-
των καὶ τῆς φυσικῆς αὐτῶν ἀκολουθίας ἄγειν τὸν
ἀκροατὴν πρὸς τὸ βούλημα. „οἱ γὰρ πάλαι ῥήτορες
ἱκανὸν αὐτοῖς ἐνόμιζον εὑρεῖν τε τὰ ἐνθυμή- 5
ματα καὶ τῇ φράσει περιττῶς ἀπαγγεῖλαι.
ἐσπούδαζον γὰρ τὸ ὅλον περὶ τὴν λέξιν καὶ τὸν
ταύτης κόσμον, πρῶτον μὲν ὅπως εἴη σημαντική
τε καὶ εὐπρεπὴς ⟨τοῖς ὀνόμασιν⟩, εἶτα δὲ καὶ
ἐναρμόνιος ἡ τούτων σύνθεσις· ἐν τούτῳ γὰρ 10
αὐτοῖς καὶ τὴν πρὸς τοὺς ἰδιώτας διαφορὰν
ἐπὶ τὸ κρεῖττον περιγίνεσθαι“. εἶτα εἰπὼν ὡς
ἀσχημάτιστος εἴη κατὰ διάνοιαν ὁ τοῦ Ἀντιφῶντος
λόγος, ὥσπερ ἐπιδιορθούμενος ἑαυτὸν „οὐ τοῦτο λέγω“
φησίν „ὡς οὐδὲν εὑρίσκεται διανοίας παρ' Ἀντι- 15
φῶντι σχῆμα· καὶ γὰρ ἐρώτησίς που καὶ παρά-
λειψις καὶ ἕτερα τοιαῦτα ἔνεισιν αὐτοῦ τοῖς
λόγοις· ἀλλὰ τί φημι; ὅτι μὴ κατ' ἐπιτήδευσιν
μηδὲ συνεχῶς ἐχρήσατο τούτοις, ἀλλ' ἔνθα [ἂν]
ἡ φύσις αὐτὴ μεθοδείας χωρίς τινος ἐπῆγεν· ὃ δὴ 20
καὶ περὶ τοὺς τυχόντας τῶν ἰδιωτῶν ἔστιν ὁρᾶν.
διὰ τοῦτο καὶ ὅταν τις ἀσχηματίστους εἶναι λέγῃ
λόγους, οὐ καθάπαξ οἰητέον τῶν σχημάτων αὐ-
τοὺς ἀπεστερημένους εἶναι, τοῦτο γὰρ ἀδύνατον,
ἀλλ' ὅτι τὸ ἐμμέθοδον καὶ συνεχὲς καὶ ἐρρωμέ- 25
νον τῶν σχημάτων οὐκ ἔστιν δρώμενον ἐν αὐτοῖς“.

cf. fr. 157, ubi admodum similia de Thucydide dicuntur.
14—18 cf. Diels l. s. p. XIV adn. 3.

---

1 *ἐξάλλαξιν* Blass ex Longino (cf. fr. 103 *a*, 2), *ἐνάλλαξιν* libri. 9 *τοῖς ὀνόμασιν* add. Blass. 19 *μηδὲ* Sauppe, *μήτε* libri. *ἂν* secl. Sauppe. 20 *ἐπῆγεν* Sauppe, *ἀπῆγεν* libri.

103 a Epitome Longini 3 Rh. Gr. I 2 p. 213, 8 Sp. et H.: ὅτι τροπὴ ἐκ τοῦ πανούργου καὶ ἐξάλλαξις οὐδεμία ἦν ἐν τοῖς ἀρχαίοις ἀλλὰ καὶ τὰ τοῦ νοῦ σχήματα ὀψέ ποτε εἰς τοὺς δικανικοὺς λόγους προεισῆλθεν· ἡ πλείων γὰρ αὐτοῖς σπουδὴ περὶ 5 τὴν λέξιν καὶ τὸν ταύτης κόσμον ἦν καὶ τὴν συνθήκην καὶ ἁρμονίαν.

referendum est ad fr. 103 p. 92, 19 — 93, 10 (cf. Burckhardt l. c. p. 27, 6, Blass l. s. I p. 118, 4, Marx l. s. p. 203, Angermann l. s. p. 49).

104 Harpocratio s. u. *ῥητορικὴ γραφή* p. 269, 13 Dind.: . . . *ὅτι κατὰ διαφόρους νόμους αἱ ⟨κατὰ⟩ τῶν ῥητόρων γραφαὶ εἰσάγονται, ὡς Ἀντιφῶν* (fr. 48 Bl.²) *ἐν τῷ Κατὰ πρυτά-* 10 *νεως, εἰ γνήσιος, ὑποσημαίνει.*

Harpocrationem hic ex Caecilio pendere Blass l. c. I p. 102 docet.

105 Harpocratio s. u. *δημοτευόμενος* p. 90, 7 Dind.: . . *Ἀντιφῶν* (fr. 65 Bl.²) *ἐν τῇ Πρὸς Φίλιππον ἀπολογίᾳ, εἰ γνήσιος.*

hoc iudicium criticum Blass l. c. I p. 102 Caecilio attribuit.

Β΄. Ἀνδοκίδης

106 (= 6 B.) Ps. Plutarchus de uitis X orat. p. 835 a: 15 δηλοῖ δὲ περὶ πάντων ἐν τοῖς λόγοις οἷς συγγέγραφεν· οἱ μὲν γὰρ ἀπολογουμένου Περὶ τῶν μυστηρίων εἰσίν, οἱ δὲ καθόδου δεομένου. σώζεται δ' αὐτοῦ καὶ ὁ Περὶ τῆς ἐνδείξεως λόγος καὶ Ἀπολογία πρὸς Φαίακα καὶ Περὶ τῆς εἰρήνης.

---

4 *προεισῆλθεν* Marx l. s. p. 203, *παρῆσμεν* liber, *παρεισῆλθεν* Hammer Hasium secutus. 10 *εἰ γνήσιος ὁ λόγος* A (Romanus s. XIV).

ad Caecilium hunc locum redire putat RADERMACHER, quod Dionysius, ut ex fragmento 6 p. 283 Vs. et R. apparet, orationem de pace spuriam putauit.

107 (u. 5—6 = 7 B.) Ps. PLVTARCHVS de uitis X orat. p. 835 b: καὶ αὐτὸς δ' ἐχορήγησε κυκλίῳ χορῷ τῇ αὑτοῦ φυλῇ ἀγωνιζομένῃ διθυράμβῳ καὶ νικήσας ἀνέθηκε τρίποδα ἐφ' ὑψηλοῦ * ἀντικρὺς τοῦ πωρίνου Σιληνοῦ.
ἔστι δ' ἁπλοῦς καὶ ἀκατάσκευος ἐν τοῖς λόγοις, ἀφελής τε 5 καὶ ἀσχημάτιστος (cf. Photius bibl. cod. 261 p. 488ᵃ 18).

2—4 a Caecilio ex Heliodori *Περὶ τῶν Ἀθήνησι τριπόδων* haustos esse KEIL Herm. XXX p. 205 (237) ostendit. iudicium rhetoricum in u. 5—6 exstans etiam BLASS l. s. I p. 300 (et in ed. Andoc. p. XVI adn.) et I. H. LIPSIVS in ed. Andoc. 1888 p. XIV et E. DRERVP *Jahrbuecher fuer class. philol.* 27. *supplb.* 1902 p. 318. Caecilio adscripserunt.

Γ'. *Λυσίας*

108 (p. 97, 3—14 = 8 B.; est et Dionys. Hal. fr. 7 p. 284, 8 Vs. et R.) Ps. PLVTARCHVS de uitis X orat. p. 835 c = Lysias p. XXXII Thalh. (cf. Photius bibl. cod. 262 p. 489ᵇ 18): Λυσίας υἱὸς ἦν Κεφάλου τοῦ Λυσανίου τοῦ Κεφάλου, Συρακουσίου μὲν γένος, 10 μεταναστάντος δ' εἰς Ἀθήνας ἐπιθυμίᾳ τε τῆς πόλεως καὶ Περικλέους τοῦ Ξανθίππου πείσαντος αὐτὸν φίλον ὄντα καὶ ξένον, πλούτῳ διαφέροντα, ὡς δέ τινες, ἐκπεσόντα τῶν Συρακουσῶν, ἡνίκα ὑπὸ Γέλωνος ἐτυραννοῦντο. γενόμενος ⟨δ'⟩ Ἀθήνησιν ἐπὶ Φιλοκλέους ἄρχοντος τοῦ μετὰ Φρασικλῆ κατὰ τὸ δεύτερον 15 ἔτος τῆς ὀγδοηκοστῆς [καὶ δευτέρας] ὀλυμπιάδος τὸ μὲν πρῶτον συνεπαιδεύετο τοῖς ἐπιφανεστάτοις Ἀθηναίων· ἐπεὶ δὲ τὴν εἰς Σύβαριν ἀποικίαν τὴν ὕστερον Θουρίους μετονομασθεῖσαν ἔστελλεν d

---

2 *αὐτοῦ* Westermann, *αὑτοῦ* libri. 3 post *ὑψηλοῦ* lacunam indicauit Reiske. 4 *Σιληνοῦ* Keil, *σελίνου* libri. 13 *διαφέροντα* Meziriacus, *διαφέρων* libri. 14 *δ'* add. Westermann. 16 *καὶ δευτέρας* damn. Meursius.

ἡ πόλις, ᾤχετο cὺν τῷ πρεcβυτάτῳ ἀδελφῷ Πολεμάρχῳ (ἦcαν
γὰρ αὐτῷ καὶ ἄλλοι δύο, Εὐθύδημος καὶ Βράχυλλος) τοῦ πατρὸς
ἤδη τετελευτηκότος, ὡς κοινωνήσων τοῦ κλήρου, ἔτη γεγονὼς
πεντεκαίδεκα, ἐπὶ Πραξιτέλους ἄρχοντος, κἀκεῖ διέμεινε παιδευό-
5 μενος παρὰ Τισίᾳ καὶ Νικίᾳ τοῖς Συρακουσίοις, κτησάμενός τ' οἰ-
κίαν καὶ κλήρου τυχὼν ἐπολιτεύσατο ἕως Κλεοκρίτου τοῦ Ἀθή-
νησιν ἄρχοντος ἔτη ἑξήκοντα τρία. τῷ δ' ἑξῆς ἐνιαυτῷ ὀλυμ-
e p. XXXIII Thalh. πιάδι | ἐνενηκοστῇ δευτέρᾳ τῶν κατὰ Σικελίαν συμβάντων Ἀθη-
ναίοις καὶ κινήσεως γενομένης τῶν τ' ἄλλων συμμάχων καὶ μά-
10 λιστα τῶν τὴν Ἰταλίαν οἰκούντων, αἰτιαθεὶς ἀττικίζειν ἐξέπεσε
μετ' ἄλλων τριακοσίων. παραγενόμενος δ' Ἀθήνησιν ἐπὶ Καλλίου
τοῦ μετὰ Κλεόκριτον ἄρχοντος, ἤδη τῶν τετρακοσίων κατεχόντων
τὴν πόλιν, διέτριβεν αὐτόθι. τῆς δ' ἐν Αἰγὸς ποταμοῖς ναυμαχίας
γενομένης καὶ τῶν τριάκοντα παραλαβόντων τὴν πόλιν, ἐξέπεσεν
15 ἑπτὰ ἔτη μείνας, ἀφαιρεθεὶς τὴν οὐσίαν καὶ τὸν ἀδελφὸν Πολέμ-
f αρχον. αὐτὸς δὲ διαδρὰς ἐκ τῆς οἰκίας ἀμφιθύρου οὔσης, ἐν
ᾗ ἐφυλάσσετο ὡς ἀπολούμενος, διῆγεν ἐν Μεγάροις. ἐπιθεμένων
δὲ τῶν ἀπὸ Φυλῆς τῇ καθόδῳ, ἐκεῖ χρησιμώτατος ἁπάντων ὤφθη
χρήματά τε παρασχὼν δραχμὰς δισχιλίας καὶ ἀσπίδας διακοσίας,
20 πεμφθείς τε σὺν Ἑρμᾶνι ἐπικούρους ἐμισθώσατο τριακοσίους, δύο
τ' ἔπεισε τάλαντα δοῦναι Θρασυδαῖον τὸν Ἠλεῖον ξένον αὐτῷ
γεγονότα· ἐφ' οἷς γράψαντος αὐτῷ Θρασυβούλου πολιτείαν μετὰ
τὴν κάθοδον ἐπ' ἀναρχίας τῆς πρὸ Εὐκλείδου, ὁ μὲν δῆμος ἐκύ-
ρωσε τὴν δωρεάν, ἀπενεγκαμένου δ' Ἀρχίνου γραφὴν παρανόμων
836 διὰ τὸ ἀπροβούλευτον εἰσαχθῆναι, ἑάλω τὸ ψήφισμα· καὶ οὕτως
26 ἀπελαθεὶς τῆς πολιτείας τὸν λοιπὸν ᾤκησε χρόνον ἰσοτελὴς ὢν
καὶ ἐτελεύτησεν αὐτόθι ὀγδοήκοντα τρία ἔτη βιούς, ἢ ὥς τινες
ἓξ καὶ ἑβδομήκοντα, ἢ ὥς τινες ὑπὲρ ὀγδοήκοντα, ἰδὼν Δη-

---

2 *Εὐθύδημος* Taylor ex Plat. Rep. 328 b, *εὔδιδος* libri. *Βράχυλλος* Xylander, *βράχιλλος* libri. 6 *κλήρου τυχὼν* Taylor ex Photio, *κλήρῳ λαχὼν* libri. *Κλεοκρίτου* Taylor, *Κλεάρχου* libri. 7 *ἐνιαυτῷ* Thalheim ex Photio, *Καλλίᾳ* libri; ,quem archontem postea primum nominatum esse apparet' Thalheim. 11 *τριακοσίων* Xylander ex Dionysio, *τριῶν* libri. 18 *ἐκεῖ* Westermann, *ἐπεὶ* libri, delere uult Bernardakis uelut ,ex *ἐπιθεμένων* repetitum'. 21 *Θρασυδαῖον* ex Photio, *θρασύλαιον* libri.

μοςθένη μειράκιον ὄντα. | γεννηθῆναι δέ φαcιν ἐπὶ Φιλοκλέους ἄρχοντος. p. XXXIV Thalh.

φέρονται δ' αὐτοῦ λόγοι τετρακόσιοι εἰκοσιπέντε· τούτων γνηςίους φαςὶν οἱ περὶ Διονύςιον καὶ Κεκίλιον εἶναι διακοςίους τριάκοντα ⟨καὶ τρεῖς⟩· ἐν οἷς δὶς μόνον ἡττῆςθαι λέγεται. 5

ἔςτι δ' αὐτοῦ καὶ ὁ ὑπὲρ τοῦ ψηφίςματος ⟨ὃ⟩ ἐγράψατο Ἀρχῖνος τὴν πολιτείαν αὐτοῦ περιελών, καὶ κατὰ τῶν τριάκοντα ἕτερος. ἐγένετο δὲ πιθανώτατος καὶ βραχύτατος, τοῖς ἰδιώταις b τοὺς πολλοὺς λόγους ἐκδούς. εἰςὶ δ' αὐτῷ καὶ τέχναι ῥητορικαὶ 10 πεποιημέναι καὶ δημηγορίαι, ἐπιςτολαί τε καὶ ἐγκώμια καὶ ἐπιτάφιοι καὶ ἐρωτικοὶ καὶ Cωκράτους ἀπολογία ἐςτοχαςμένη τῶν δικαςτῶν. δοκεῖ δὲ κατὰ τὴν λέξιν εὔκολος εἶναι, δυςμίμητος ὤν (cf. Photius bibl. cod. 262 p. 488b 14).

1s uide ea, quae Leo l. s. p. 19, 3 exposuit. idem uir doctus p. 33 nonnulla de hoc toto loco protulit. cf. prooemium p. XXV.

109 Photivs bibl. cod. 262 p. 488b 25: ἔςτι μὲν ἐν οὐκ 15 ὀλίγοις αὐτοῦ λόγοις ἠθικός, γίνεται δὲ κατὰ διάνοιαν ὁ ἠθικός, ὅταν χρηςτὴν ἔχῃ προαίρεςιν καὶ πρὸς τὰ βελτίω ῥέπουςαν. ὅθεν οὐ χρὴ ψιλῶς τὰ πραχθέντα λέγειν, ἀλλὰ καὶ τὴν γνώμην ςυνάπτειν, μεθ' ἧς ἐπράττετο ἕκαςτον, οἷον, ἂν μὲν χαλεπὰ ᾖ καὶ πρὸς φίλους ἢ ἄλλως μετρίους, τὴν ἀνάγκην αἰτιᾶςθαι, ἂν δὲ 20 ἀμείνω, τὴν προαίρεςιν. αὕτη δὲ μάλιςτα πιθανὴ γίνεται, εἰ τὴν αἰτίαν προςλάβοι. τὰς μέντοι γε αἰτίας οὐ χρὴ τοῦ λυςιτελοῦς ἕνεκα παραλαμβάνειν· φρονίμου γὰρ μᾶλλον ἢ χρηςτοῦ καὶ εὐγνώμονος τὰ τοιαῦτα. χαλεπὸς δὲ ὁ τρόπος φυλάξαι· διὸ καὶ

16 s eadem, fere ad uerbum, Longinus (fr. 109 *a*) exhibet.

---

5 *καὶ τρεῖς* ex Photio Duebner. 7 *ὁ* Taylor, *ὃν* libri. *ὃ* add. Taylor. 8 *αὐτοῦ περιελών* Taylor, *αὐτῷ περιέχων* libri. 11 *δημηγορίαι* ex Dionysio, *δημηγορία* libri. 16 *κατὰ διάνοιαν* A (codex olim Bessarioneus, nunc Venetus) et Longinus (cf. fr. 109 *a*, 18), *κατὰ τὴν διάνοιαν* ceteri libri. 22 *γε* om. A.

Λυςίας ἐν αὐτῷ φαίνεται πολλάκις διαμαρτάνων. θαυμάζονται μέντοι γε αὐτοῦ ἄλλοι τε πολλοὶ λόγοι καὶ δὴ καὶ ὁ πρὸς Διογείτονα ἐπιτροπῆς· πιθανήν τε γὰρ καὶ καθαρὰν τὴν διήγηςιν ποιεῖται, ἀλλ' οὐκ εὐθὺς ἐπὶ τὰς αὐξήςεις καὶ τὰς δεινώςεις, ὅπερ
5 πολλοὶ πάςχουςιν, ὑπάγεται. καὶ γὰρ οὐδ' ἔςτιν οἰκεῖα τὰ τοι-
489ᵃ αῦτα | τῆς πρώτης διδαςκαλίας τοῦ πράγματος, ἀλλ' ἐν τοῖς μετὰ ταῦτα χώραν ἔχει καταλέγεςθαι. καὶ πολλὴν δὲ τὴν καθαρότητα καὶ ςαφήνειαν ἔν τε τοῖς πράγμαςι καὶ ταῖς λέξεςιν ἀπ' αὐτῆς τῆς τοῦ λόγου προβάλλεται ἀρχῆς, ὥςπερ καὶ τὸ ςχῆμα τὸ κατ'
10 εὐθεῖαν ἁρμόζον ἀφηγήςει, καὶ τὸ μηδέν τι ἔξωθεν ςυνεφέλκεςθαι. τὸ δὲ τῆς ἁρμονίας αὐτοῦ κάλλος οὐ παντός ἐςτιν αἰςθάνεςθαι· καὶ γὰρ δοκεῖ μὲν ἁπλῶς καὶ ὡς ἔτυχε ςυγκεῖςθαι, εἰς ὑπερβολὴν δὲ κόςμου καταςκεύαςται. καὶ ἁπλῶς ὅλος ὁ λόγος ἄξιος θαυμάςαι κατά τε τὰ ςχήματα καὶ τὰ νοήματα καὶ τὰ ὀνόματα καὶ
15 τὴν ἐναρμόνιον τούτων ςυνθήκην καὶ τὴν εὕρεςιν καὶ τάξιν τῶν ἐνθυμημάτων τε καὶ ἐπιχειρημάτων.

1—16 Dionysii esse non possunt, cum, quamquam is quoque ipsam illam orationem laudibus effert (de Lysia c. 20—27), tamen cum eo iudicio, quale apud Photium exstat, in singulis non concinat. quare haec et quae praecedunt Caecilio tribui.

109a Epitome Longini 14 Rh. Gr. I 2 p. 215, 14 Sp. et H.: ὅτι ἠθικὸς λόγος γίνεται κατὰ διάνοιαν, ὅταν χρηςτὴν ἔχῃ προαίρεςιν καὶ πρὸς τὰ βελτίω ῥέπουςαν.

uide fr. 109 p. 97, 16 s.

20 **110** (p. 99, 5—7 = 9 B.) Photivs bibl. cod. 262 p. 489ᵇ 3: ἔςτι δὲ ὁ Λυςίας δεινὸς μὲν παθήναςθαι, ἐπιτήδειος δὲ τοὺς πρὸς αὔξηςιν διαθεῖναι λόγους. τινὲς μὲν οὖν τῶν περὶ τοὺς ῥητορικοὺς διατριβόντων λόγους οὐκ ὀρθῶς ὑπήχθηςαν εἰπεῖν περὶ Λυςίου ὡς ἀποδεῖξαι μὲν
25 τὰ ἐγκλήματα παρ' ὀντιναοῦν τῶν παλαιῶν ἀνδρῶν τὸ προκεκριμένον ἔχει, αὐξῆςαι δὲ ταῦτα πολλῶν ἐν-

δεής. καὶ γὰρ ἐλέγχονται φανερῶς ὑπὸ τῶν αὐτοῦ λόγων πολὺ τῆς ἐπ' αὐτῷ διασφαλλόμενοι κρίσεως. καὶ μάλιστά γε τούτους ὁ Κατὰ Μνησιπτολέμου διελέγχει· θαυμαστῶς γὰρ τὴν κατηγορίαν πρὸς μέγεθος οὗτος ηὔξησε. Κεκίλιος δὲ ἁμαρτάνει εὑρετικὸν μὲν τὸν 5 ἄνδρα, εἴπερ ἄλλον τινά, συνομολογῶν, οἰκονομῆσαι δὲ τὰ εὑρεθέντα οὐχ οὕτως ἱκανόν.

3 ss cf. fr. 143, 13 ss; 5—7 cf. fr. 110 *a*.
de hoc fr. cf. prooemium p. XXVII s et Savppe l. s. p. 1665.

***110a** (u. 8—12 = 9^b B.) Hermias alexandrinvs in Plat. Phaedr. schol. p. 230, 23 Couvr.: ὅθεν ἀπὸ τοῦ Πλάτωνος λαβόντες οἱ κριτικοί φασι περὶ Λυσίου ὅτι τίκτειν μὲν δυνατὸς 10 ἐγένετο, τάξαι δὲ οὔ, διὰ τὸ εὑρετικὸν αὐτοῦ καὶ ἄτακτον τοῦ λόγου.

cf. idem p. 227, 1 Couvr.: τριῶν δὲ ὄντων τούτων, εὑρέσεως καὶ τάξεως ἐν παντὶ λόγῳ καὶ φράσεως, μέμφεται (ὁ Πλάτων) τὸν Λυσίαν οὐκ ἐν τῇ εὑρέσει ἀλλὰ ἐν τῇ οἰκονομίᾳ καὶ 15 φράσει.

etiam Immisch l. c. p. 243, 2 Caecilium auctorem esse statuit.

***111** Theon Rh. Gr. II p. 69, 6 Sp.: . . . ὅ τε (λόγος) Περὶ τῶν ἀνακαλυπτηρίων ἐπιγραφόμενος Λυσίου (fr. VII et X Thalh.) καὶ ὁ Περὶ τῆς ἀμβλώσεως· . . . Λυσίου μὲν οὔ φασιν εἶναι τούτους τοὺς λόγους, κτλ. 20

his uerbis a Theone Caecilium aut Dionysium in usum uocari V. de Wilamowitz Herm. XXXV p. 6, 2 suspicatus est. cf. fr. 77.

---

2 *αὐτῷ* A, *αὐτὸ* uulg. 4 *κατηγορίαν* ceteri libri, *προσηγορίαν* A. *οὗτος*] *οὕτως* Blass l. s. I p. 373. 10 *μὲν* om. M.

112 Hermias in Plat. Phaedr. schol. p. 35, 19 Couvr.: εἰδέναι δὲ δεῖ ὅτι αὐτοῦ Λυσίου ὁ (Ἐρωτικός) λόγος οὗτός ἐστι, καὶ φέρεται ἐν ταῖς ἐπιστολαῖς ταῖς ἐκείνου εὐδοκιμοῦσα καὶ αὕτη ἡ ἐπιστολή.

hunc locum Immisch l. c. p. 243, 2 ad Caecilium reuocauit.

Δ'. Ἰσοκράτης

5 **113** Ps. Plvtarchvs de uitis X orat. p. 836 f (cf. Photius bibl. cod. 260 p. 486ᵇ 11): γενόμενος δὲ κατὰ τὴν ὀγδοηκοστὴν ἕκτην ὀλυμπιάδα Λυσιμάχου ⟨ἄρχοντος, νεώτερος⟩ μὲν Λυσίου δυσὶ καὶ εἴκοσιν ἔτεσι, πρεσβύτερος δὲ Πλάτωνος ἑπτά, κτλ.

cf. fr. 133. hunc locum ex Caecilio haustum esse Bvsse l. s. p. 81—84 ostendit.

114 Ps. Plvtarchvs de uitis X orat. p. 837 b (cf. Photius 10 bibl. cod. 260 p. 486ᵇ 27): . . σχολῆς δ' ἡγεῖτο, ὥς τινές φασι, πρῶτον ἐπὶ Χίου, μαθητὰς ἔχων ἐννέα· ὅτε καὶ ἰδὼν τὸν μισθὸν ἀριθμούμενον εἶπε δακρύσας ὡς 'ἐπέγνων ἐμαυτὸν νῦν τούτοις c πεπραμένον'. . . . καὶ ἀρχὰς . . περὶ τὴν Χίον κατέστησε καὶ τὴν αὐτὴν τῇ πατρίδι πολιτείαν.

copiose pertractauit hunc locum Keil (Analecta Isocratea p. 92—94), qui illum Hermippeae originis esse suspicatur et Caecilium intermedium (cf. p. 93, 1) statuit; cum Keilio concinit Svsemihl (de . . . uitis Tisiae Lysiae Isocratis . . . quaestiones epicriticae, ind. schol. Gryph. sem. aest. 1884, p. XV s et *philolog. anzeig.* XV 1885 p. 242).

15 **115** Ps. Plvtarchvs de uitis X orat. p. 837 c (cf. Photius bibl. cod. 260 p. 486ᵇ 31): ἀκροαταὶ δ' αὐτοῦ ἐγένοντο εἰς ἑκατόν,

---

7 *Λυσιμάχου ⟨ἄρχοντος, νεώτερος⟩ μὲν Λυσίου* Duebner et Busse, *λυσιμάχου μυρρινουσίου* libri. 8 *δυσὶ* Wolf, *δύο* libri.

ἄλλοι τε πολλοὶ καὶ Τιμόθεος ὁ Κόνωνος, σὺν ᾧ καὶ πολλὰς πόλεις ἐπῆλθε, συντιθεὶς τὰς πρὸς Ἀθηναίους ὑπὸ Τιμοθέου πεμπομένας ἐπιστολάς, ὅθεν ἐδωρήσατο αὐτῷ τάλαντον τῶν ἀπὸ Σάμου περιγενομένων. ἐμαθήτευσε δ' αὐτῷ καὶ Θεόπομπος ὁ Χῖος καὶ Ἔφορος ὁ Κυμαῖος καὶ Ἀσκληπιάδης ὁ τὰ τραγῳδούμενα συγ- 5 γράψας καὶ Θεοδέκτης ὁ Φασηλίτης ὁ τὰς τραγῳδίας ὕστερον γράψας, οὗ ἐστι τὸ μνῆμα ἐπὶ τὴν Κυαμῖτιν πορευομένοις κατὰ τὴν ἱερὰν ὁδὸν τὴν ἐπ' Ἐλευσῖνα, τὰ νῦν κατερηρειμμένον· ἔνθα d καὶ τοὺς ἐνδόξους τῶν ποιητῶν ἀνέστησε σὺν αὐτῷ, ὧν Ὅμηρος ὁ ποιητὴς σῴζεται μόνος· Λεώδαμός τ' Ἀθηναῖος καὶ Λάκριτος * 10 ὁ νομοθέτης Ἀθηναίοις, ὥς δέ τινές φασι, καὶ Ὑπερείδης καὶ Ἰσαῖος.

4 s fusiora de Theopompo et Ephoro Photius (fr. 115 *a*) seruauit. u. 6—10 Caecilio deberi, qui sua ex Heliodori *Περὶ* ⟨*τῶν Ἀθήνησι*⟩ *μνημάτων* transtulerit, Keil Hermes XXX p. 205 s (236) contendit.

115a Photius bibl. cod. 176 p. 121ᵃ 23: φασὶ δὲ αὐτόν (Θεόπομπον) τε καὶ Ἔφορον Ἰσοκράτους γενέσθαι μαθητάς. δῆλον δὲ τοῦτο ποιοῦσι καὶ οἱ λόγοι· πολὺ γὰρ ἐν τοῖς Θεοπόμπου ἡ 15 κατὰ μίμησιν ἰδέα τῶν παρ' Ἰσοκράτει, εἰ καὶ λείπεται τῆς κατὰ τὴν ἐργασίαν ἀκριβείας. καὶ τὰς ἱστορικὰς δὲ ὑποθέσεις τὸν διδάσκαλον αὐτοῖς προβαλεῖν, τὰς μὲν τῶν ἄνω χρόνων Ἐφόρῳ, Θεοπόμπῳ δὲ τὰς μετὰ Θουκυδίδην Ἑλληνικάς, πρὸς τὴν ἑκατέρου φύσιν καὶ τὸ ἔργον ἁρμοσάμενον. διὸ καὶ τὰ προοίμια 20 αὐτοῖς τῶν ἱστοριῶν τῇ τε διανοίᾳ καὶ τοῖς ἄλλοις ἐστὶν ὁμοιότατα, ὡς ἂν ἀπὸ τῆς αὐτῆς ἀφετηρίας ἐκδραμόντων ἑκατέρου πρὸς τὸ στάδιον τῆς ἱστορίας.

πλείσταις μὲν οὖν παρεκβάσεσι παντοδαπῆς ἱστορίας τοὺς ἱστορικοὺς αὐτοῦ λόγους Θεόπομπος παρατείνει. διὸ καὶ Φίλιππος 25 ὁ πρὸς Ῥωμαίους πολεμήσας, ἐξελὼν ταύτας καὶ τὰς Φιλίππου

---

1 *τε* Franke ex Photio, *δὲ* libri. 10 post *Λάκριτος* lacunam indic. Westermann, qui ⟨*ὁ Φασηλίτης καὶ Λυκοῦργος*⟩ supplet. 15 ‚an *πολλή*?' Bekker. 18 *διδάσκαλον* A, *διδάσκοντα* uulg. *τῶν ἄνω* Blass l. s. II p. 402, 1, *ἄνω τῶν* libri. 22 *ἐκδραμόντων* A, *ἐνδραμόντων* uulg.

συνταξάμενος πράξεις, αἵ σκοπός εἰσι Θεοπόμπῳ, εἰς ἑκκαίδεκα βίβλους μόνας, μηδὲν παρ' ἑαυτοῦ προθεὶς ἢ ἀφελὼν πλὴν (ὡς εἴρηται) τῶν παρεκτροπῶν, τὰς πάσας ἀπήρτισε. Δοῦρις (fr. 1
4 FHG II 469) μὲν οὖν ὁ Σάμιος ἐν τῇ πρώτῃ τῶν αὑτοῦ Ἱστο-
121b ριῶν οὕτω φησίν "Ἔφορος δὲ καὶ | Θεόπομπος τῶν γενομένων πλεῖστον ἀπελείφθησαν· οὔτε γὰρ μιμήσεως μετέλαβον οὐδεμιᾶς οὔτε ἡδονῆς ἐν τῷ φράσαι, αὐτοῦ δὲ τοῦ γράφειν μόνον ἐπεμελήθησαν". καίτοι Δοῦρις καὶ τῆς ἐν αὐτοῖς τούτοις οἰκονομίας, οἷς αἰτιᾶται, πολλὰ τῶν ἀνδρῶν λειπόμενος. ἀλλ' εἰ μὲν πρὸς
10 τὸν ὑπερήφανον ἐκεῖνον Θεοπόμπου λόγον, ὃς τοὺς ἀρχαιοτέρους οὐδὲ τῶν δευτερείων ἠξίου, τοῦτο ἀπέρριψεν, οὐκ ἔχω λέγειν· πλὴν ὅτι οὐδέτερος αὐτῶν προσηκόντως ἐπελάβετο, καὶ μάλιστα ἂν διισχυρισαίμην. Κλεοχάρης δὲ ὁ Σμυρλεανός, ὑπὲρ τῶν Ἰσοκρατικῶν ἁπάντων οἶμαι λέγων (τοῦτο γάρ ἐστι τὸ ἐν τῇ πρὸς
15 τὸν Δημοσθένην συγκρίσει μὴ τὰ πόρρω αὐτοῖς παρασχεῖν), φησὶ τοὺς μὲν Δημοσθενικοὺς λόγους τοῖς τῶν στρατιωτῶν ἐοικέναι μάλιστα σώμασι, τοὺς δὲ Ἰσοκρατικοὺς τοῖς τῶν ἀθλητῶν. δῆλον δὲ ὡς Θεόπομπος οὐδενὸς τῶν Ἰσοκρατικῶν εἰς τοὺς λόγους ἀτιμότερος.

hoc fragmentum referendum est ad fr. 115 p. 101, 4 s. Photii fontem hic Caecilium esse, qui saepe ab hoc rhetore adhibiti Hermippi libro *Περὶ τῶν Ἰσοκράτους μαθητῶν* inscripto usus sit, Keil apud Susemihlium (*griech. litteratur in der Alexandrinerzeit* II. 1892 p. 678) edocet.

20 **116** Ps. Plvtarchvs de uitis X orat. p. 838 a: . . ἀλλὰ καὶ τὰ παρὰ Νικοκλέους τοῦ Κυπρίων βασιλέως, ὃς ἦν υἱὸς Εὐαγόρου, εἴκοσι τάλαντα λαβὼν ὑπὲρ τοῦ πρὸς αὐτὸν γραφέντος λόγου κτλ.

haec uerba ex Hermippo exscripta fortasse Caecilium nobis tradere Keil Analecta Isocratea p. 89 s (cf. p. 93, 1) Svsemihlivm (*philol. anzeig.* XV 1885 p. 242) assentientem habens putat.

117 (u. 22—24 = 10 B.; u. 22—27 = Dionys. Hal. fr. 10 p. 287, 1 Vs. et R.) Ps. Plvtarchvs de uitis X orat. p. 838 b:

ἐτάφη δὲ μετὰ τῆς συγγενείας πλησίον Κυνοσάργους ἐπὶ τοῦ λόφου ἐν ἀριστερᾷ αὐτός τε καὶ ὁ πατὴρ αὐτοῦ Θεόδωρος καὶ ἡ μήτηρ Ἡδυτώ, ταύτης τ' ἀδελφὴ τηθὶς τοῦ ῥήτορος Νακὼ καὶ ὁ ποιητὸς υἱὸς Ἀφαρεὺς καὶ ὁ ἀνεψιὸς αὐτοῦ Σωσικλῆς, μητρὸς Ἰσοκράτους ἀδελφῆς Νακοῦς υἱὸς ὤν, ὅ τ' ἀδελφὸς αὐ- 5 c τοῦ ὁμώνυμος τοῦ πατρὸς Θεόδωρος καὶ οἱ υἱωνοὶ ⟨αὐτοῦ⟩, τοῦ ποιηθέντος αὐτῷ παιδὸς Ἀφαρέως. Ἀφαρεὺς * καὶ ὁ τούτου πατὴρ Θεόδωρος ἥ τε γυνὴ Πλαθάνη, μήτηρ δὲ τοῦ ποιητοῦ Ἀφαρέως. ἐπὶ μὲν οὖν τούτων τράπεζαι ἐπῆσαν ἕξ, αἳ νῦν οὐ σῴζονται· αὐτῷ δ' Ἰσοκράτει ἐπὶ τοῦ μνήματος ἐπῆν κίων 10 τριάκοντα πηχῶν, ἐφ' οὗ σειρὴν πηχῶν ἑπτὰ συμβολικῶς, ὃς νῦν οὐ σῴζεται. ἦν δὲ καὶ αὐτοῦ τράπεζα πλησίον ἔχουσα ποι- d ητάς τε καὶ τοὺς διδασκάλους αὐτοῦ, ἐν οἷς καὶ Γοργίαν (cf. *Vorsokratiker* p. 526, 24 Diels) εἰς σφαῖραν ἀστρολογικὴν βλέποντα αὐτόν τε τὸν Ἰσοκράτην παρεστῶτα. ἀνάκειται δ' αὐτοῦ 15 καὶ ἐν Ἐλευσῖνι εἰκὼν χαλκῆ ἔμπροσθεν τοῦ προστῴου ὑπὸ Τιμοθέου τοῦ Κόνωνος, καὶ ἐπιγέγραπται (cf. inscriptiones Graecae metricae 156 Preger)

Τιμόθεος φιλίας τε χάριν ξύνεσίν τε προτιμῶν
Ἰσοκράτους εἰκὼ τήνδ' ἀνέθηκε θεοῖν. 20

Λεωχάρους ἔργον.

φέρονται δ' αὐτοῦ λόγοι ἑξήκοντα. ὧν εἰσι γνήσιοι κατὰ μὲν Διονύσιον εἰκοσιπέντε, κατὰ δὲ Κεκίλιον εἰκοσιοκτώ, οἱ δ' ἄλλοι κατεψευσμένοι. . . . .

εἰσὶ δ' οἳ καὶ τέχνας αὐτὸν λέγουσι συγγεγραφέναι, οἳ δ' οὐ 25 f μεθόδῳ, ἀλλ' ἀσκήσει χρήσασθαι (cf. Photius bibl. cod. 260 p. 486[b] 5).

u. 1—21 ex Heliodori *Περὶ ⟨τῶν Ἀθήνησι⟩ μνημάτων* deductos et a Caecilio seruatos esse Keil Hermes XXX p. 201 s et 219 s (235) demonstrauit.

---

2 *αὐτός* Reiske, *ὁ υἱός* libri. 3 *Ἡδυτώ* Sauppe, *αὐτοῦ* libri. *Νακὼ* Keil l. s. p. 201 et 203, 2, *Ἀνακὼ* libri. 4 *Σωσικλῆς* Keil l. s. p. 204, 2, *Σωκράτης* libri. 5 *Νακοῦς υἱὸς* Keil l. s. p. 201 et p. 203, 2, *ἀνακούσιος* libri. 6 *αὐτοῦ* add. Wyttenbach. 7 post *Ἀφαρεὺς* lacuna est in codice E (Parisino). 10 *κριῶν* aut *κριῶν* aut *κριὸς* libri. 19 *ξύνεσίν* Duebner, *ξενίην* libri. 20 *θεοῖν* Kaibel, *θεαῖς* libri.

118 Ps. Plutarchus de uitis X orat. p. 838 f (cf. Photius cod. 260 p. 487[b] 18): ἐλυπήθη δὲ καὶ οὐ μετρίως ἐπὶ τῷ Σωκράτους θανάτῳ καὶ μελανειμονῶν τῇ ὑστεραίᾳ προῆλθεν.

eadem fere apud Hermiam (fr. 118*a*) legimus, quare Immisch l. s. p. 243, 2 communem auctorem, scilicet Caecilium, adhibitum esse iudicat.

118a Hermias in Plat. Phaedr. schol. p. 264, 20 Couvr.:
5 ἐλέγετο Ἰσοκράτης οὕτως ἑταῖρος γεγενῆσθαι Σωκράτους ὡς μετὰ τὸν θάνατον αὐτοῦ ἐπὶ ἐνιαυτὸν μελανειμονεῖν.

119 Ps. Plutarchus de uitis X orat. p. 839 a: ἐγένετο δὲ καὶ πρὸς τὰ ἀφροδίσια καταφερής, ὡς ὑποπάστῳ παρειλκυσμένῳ ἐν τῇ κοίτῃ χρῆσθαι, κρόκῳ διάβροχον ἔχοντα τὸ προσκεφάλαιον,
b 10 καὶ νέον μὲν ὄντα μὴ γῆμαι, γηράσαντα δ' ἑταίρᾳ συνεῖναι, ᾗ ὄνομα ἦν Λαγίσκη, ἐξ ἧς ἔσχε θυγάτριον, ὃ γενόμενον ἐτῶν δώδεκα πρὸ γάμων ἐτελεύτησεν. ἔπειτα Πλαθάνην τὴν Ἱππίου τοῦ ῥήτορος γυναῖκα ἠγάγετο τρεῖς παῖδας ἔχουσαν, κτλ. sequitur admodum paucis interiectis fr. 120.

non solum 7—12 (Keil, Analecta Isocr. p. 90—92), sed totus locus (Blass l. s. II p. 71 s, 7) Hermippi est, quem fortasse a Caecilio excerptum esse Keil l. s. p. 90—92 (cf. p. 93, 3) suspicatur.

120 Ps. Plutarchus de uitis X orat. p. 839 b: . . τὸν Ἀφα-
15 ρέα . ., ὃς καὶ εἰκόνα αὐτοῦ χαλκῆν ἀνέθηκε πρὸς τῷ Ὀλυμπιείῳ ἐπὶ κίονος καὶ ἐπέγραψεν (cf. inscriptiones Graecae metricae 157 Preger)

Ἰσοκράτους Ἀφαρεὺς πατρὸς εἰκόνα τήνδ' ἀνέθηκε
Ζηνί, θεούς τε σέβων καὶ γονέων ἀρετήν.

c 20 . . . ἀνάκειται . . ἐν ἀκροπόλει χαλκοῦς ἐν τῇ Σφαιρίστρᾳ τῶν

---

5 οὗτος M. 12 ‚an προγάμων?' Radermacher. 15. 16 Ὀλυμπιείῳ Wyttenbach, ὀλυμπίῳ ὡς libri. 20 Σφαιρίστρᾳ] mutare non oportet; cf. Keil l. s. p. 203.

Ἀρρηφόρων κελητίζων ἔτι παῖς ὤν, ὥς εἶπόν τινες. .... ἦν δ' αὐτοῦ καὶ γραπτὴ εἰκὼν ἐν τῷ Πομπείῳ. ... ἐποίησε (Ἀφαρεύς) δὲ καὶ τραγῳδίας περὶ ἑπτὰ καὶ τριάκοντα, ὧν ἀντιλέγονται δύο. ἀρξάμενος δ' ἀπὸ Λυσιστράτου διδάσκειν ἄχρι d Σωσιγένους ἐν ἔτεσιν εἴκοσιν ὀκτὼ διδασκαλίας ἀστικὰς καθῆκεν 5 ἕξ, καὶ δὶς ἐνίκησε διὰ Διονυσίου καθεὶς καὶ δι' ἑτέρων ἑτέρας δύο Ληναϊκάς. τῆς δὲ μητρὸς αὐτῶν Ἰσοκράτους καὶ Θεοδώρου καὶ τῆς ταύτης ἀδελφῆς Νακοῦς εἰκόνες ἀνέκειντο ἐν ἀκροπόλει· ὧν ἡ τῆς μητρὸς παρὰ τὴν Ὑγίειαν νῦν κεῖται μετεπιγεγραμμένη, ἡ δὲ Νακοῦς οὐ σῴζεται. ἔσχε δὲ δύο υἱούς, Ἀλέξανδρον μὲν 10 ἐκ Κόννου, Σωσικλέα δ' ἐκ Λυσίου.

hunc locum, qui Heliodorum (p. 104, 14 — 105, 2 et p. 105, 7—11 e libro *Περὶ ⟨τῶν Ἀθήνησι⟩ μνημάτων*, p. 105, 2—7 e libro *Περὶ τῶν Ἀθήνησι τριπόδων*) patrem profitetur, Caecilio deberi Keil Hermes XXX p. 203 ss (235 s. 237) ostendit.

121 Photius bibl. cod. 260 p. 487ᵃ 13: συνέθηκε μέντοι τὸν Πανηγυρικόν, οἱ μὲν ἔτεσί φασι δέκα, οἱ δὲ ἐπὶ τούτοις ἕτερα πέντε. καίτοι Γοργίου τοῦ Λεοντίνου καὶ Λυσίου τῶν ἐνθυμημάτων καὶ ἐπιχειρημάτων μικροῦ μεταβολὴ καθέστηκε καὶ μετά- 15 θεσις ὁ πανηγυρικὸς Ἰσοκράτους λόγος. διατρῖψαι δ' ἄν τις οἰηθείη μακρὸν οὕτω χρόνον τοῦ Πανηγυρικοῦ προσεδρεύοντα τὸν ῥήτορα τῇ συνθήκῃ διὰ τὸ τῆς λέξεως κατεσκευασμένον καὶ περιττόν, καὶ διὰ τὴν εἰς ἀκρίβειαν τῶν ὀνομάτων ἐκλογὴν καὶ δὴ καὶ τῆς πρὸς ἄλληλα τούτων συνθήκης. ἀλλὰ καὶ ἡ τῶν 20 κώλων καὶ περιόδων ἐπὶ τοσοῦτον ἀκρίβεια ἱκανὴ καταναλῶσαι χρόνον. μάλιστα δὲ αὐτῷ ἡ τῶν πραγμάτων εὕρεσις καὶ διοίκησις τὴν τοσαύτην ἀσχολίαν ἐνεποίησε· τὰ γὰρ κεφάλαια καὶ τὰ ἐπιχειρήματα, οἷς ὁ λόγος οἰκονομούμενος ἀπαρτίζεται, εἴ τις

14—16 cf. fr. sequens 10—13 et fr. 166 p. 204, 21 s; praeterea uide adn. ad fr. 89.

---

1 *κελητίζων* Turnebus, *κερητίζων* libri. 8 et 10 *Νακοῦς*] nil mutandum est; cf. Keil l. s. p. 203, 2. 11 *Κόννου Σωσικλέα* Keil l. s. p. 204, 2, *κοινοῦς οὐσικλέα* libri. 20 genetiuus *τῆς συνθήκης* pendet ab *ἐκλογὴν* an *τὴν συνθήκην* scribendum est?

ἐπιμελῶς καὶ καθ' ἕκαστον μέρος ἐπισκέψοιτο, εὑρήσει συντελεσθῆναι πολλοῦ δεόμενα χρόνου.

hunc locum ad Caecilium reducunt Blass l. s. II p. 121 (p. 134, 2) et Otto l. s. p. 23, 1.

122 Photivs bibl. cod. 260 p. 487b 26: *τῶν δὲ λόγων αὐτοῦ τὸ εὐκρινὲς καὶ σαφὲς καὶ μεμελετημένον πᾶσι*
5 *δῆλον, καὶ ὡς ἐπανθεῖ αὐτοῖς οὐ μόνον ἔμφυτον ἀλλὰ καὶ κομμωτικὸν κάλλος. οὐ μέντοι γε πολυσχήμων ὁ ἀνήρ, οὐδὲ ταῖς κατὰ τὸ σχῆμα τροπαῖς ποικιλλόμενος· διὸ καὶ δι' ἔνδειαν τῆς ἐν τούτοις μεταβολῆς οὐδ' ἐναγώνιος. Ἰσοκρατικὴ δὲ καὶ τῶν ἐν τοῖς λόγοις ὑπο-*
10 *στάσεων ἡ συνέχεια. τάχα δ' ἄν τις αὐτὸν αἰτιάσαιτο κλοπῆς, ἐξ ὧν ἐν τῷ πανηγυρικῷ λόγῳ αὐτοῦ πολλὰ τῶν κατὰ τοὺς ἐπιταφίους λόγους εἰρημένων Ἀρχίνῳ τε* (O A II 166b Tur.) *καὶ Θουκυδίδῃ καὶ Λυσίᾳ ὑπεβάλετο. ἀλλ' οὐδὲν κωλύει παραπλησίων ἀνακυπτόντων πραγμάτων*
15 *ταῖς ὁμοίαις ἐξεργασίαις κεχρῆσθαι καὶ τοῖς* ⟨*αὐτοῖς*⟩ *ἐνθυμήμασιν, οὐχ ὑποβαλλόμενον τὰ ἀλλότρια, ἀλλὰ τῆς τῶν πραγμάτων ἀναβλαστανούσης φύσεως τοιαῦτα οἷα καὶ τοῖς προλαβοῦσι προβαλλομένη ἐπιδείκνυται.*

4 uide fr. sequens p. 106, 24. 10—13 cf. fr. praecedens 14—16 et fr. 166 p. 204, 21 s; inspicias etiam adn. ad fr. 89; quare 10—18 Photium de Caecilio (*τίς*) loqui statuerim. 3—10 Savppe l. c. p. 1664 et Brzoska l. s. p. 1183 Caecilio attribuerunt.

123 Photivs bibl. cod. 159 p. 102a 42: οὗτος μὲν οὖν ὁ
102b ῥήτωρ σοφιστεύειν μᾶλλον ἢ τῶν | κοινῶν προστατεῖν, ὥσπερ οἱ
21 ἄλλοι ἐννέα ῥήτορες, ὧν καὶ Δημοσθένης ἦν, εἵλετο, καίτοι καὶ πρὸ ἐκείνων τοῖς τῆς ῥητορικῆς ἀκμάζων λόγοις, καὶ κατ' ἐκείνους τὴν ἐπ' αὐτοῖς δόξαν οὐκ ἐλαττούμενος. κέχρηται δὲ μάλιστα μέν, ὡς αὐτίκα τοῖς ἀναγινώσκουσι δῆλον, εὐκρινείᾳ καὶ

24 cf. fr. praecedens u. 4.

---

15 *κεχρῆσθαι* A, *χρῆσθαι* uulg. *αὐτοῖς* add. Radermacher.

καθαρότητι, πολλήν τε ἐπιμέλειαν περὶ τὴν ἐργαςίαν τῶν λόγων ἐπιδείκνυται, ὥςτε καὶ εἰς περιττὸν αὐτῷ διεκπίπτειν τὸν κόςμον καὶ τὸ ἐπιμελές. καὶ αὐτὸ δὲ τὸ τῆς ἐργαςίας πλεονάζον παρ' αὐτῷ οὐ τὸ γόνιμον μᾶλλον τῶν ἐπιχειρημάτων ἢ τὸ ἀπειρόκαλον παριςτᾷ. ἦθος δὲ καὶ ἀλήθεια καὶ γοργότης οὐδὲ μέτεςτιν 5 αὐτῷ. μεγέθους δὲ αὐτῷ ὅςον εἰς τὸν πολιτικὸν ἐναρμόζει λόγον, ἄριςτα καὶ παραπληςίως κέκραται τῇ ςαφηνείᾳ. ἄτονος δὲ πλέον τοῦ δέοντος ὁ λόγος. οὐχ ἥκιςτα δὲ αὐτοῦ ςμικρολογίαν καὶ τὸ προςκορὲς τῶν παριςώςεων αἰτιᾶται.

cf. prooemium p. XXVIII.

***124** Harpocratio s. u. *ἐπακτὸς ὅρκος* p. 119, 5 Dind.: 10 . . *Λυσίας ἐν τῷ Πρὸς Χαιρέστρατον καὶ Ἰσοκράτης Ἀπολλωνιάτης* (cf. OA II 245 Tur.) *ἐν ταῖς Πρὸς Δημόνικον παραινέσεσιν.*

Harpocrationem hic Caecilio auctore niti Blass l. c. II p. 104, p. 281, p. 281, 1 coniecit. eandem artis criticae rationem a Caecilio alibi quoque adhibitam esse ex fragmento 127 apparet. Caecilium fontem esse negat E. Drerup in Isocratis edit. uol. I. 1906 p. LXXXVIII.

Ε'. Ἰσαῖος

125 (u. 19—22 = 11 B.) Ps. Plutarchus de uitis X orat. p. 839 f = Isaeus p. XXVI Thalh. (cf. Photius bibl. cod. 263 15 p. 490ᵃ 28): καθηγήςατο δὲ Δημοςθένους ἀποςτὰς τῆς ςχολῆς ἐπὶ δραχμαῖς μυρίαις, διὸ καὶ μάλιςτα ἐπιφανὴς ἐγένετο. αὐτὸς δὲ καὶ τοὺς ἐπιτροπικοὺς λόγους ςυνέταττε τῷ Δημοςθένει, ὥς τινες εἶπον.

καταλέλοιπε δὲ λόγους ἑξήκοντα τέςςαρας, ὧν εἰςι γνήςιοι πεντήκοντα, καὶ ἰδίας τέχνας. πρῶτος δὲ καὶ ςχηματίζειν ἤρξατο 20 καὶ τρέπειν ἐπὶ τὸ πολιτικὸν τὴν διάνοιαν, ὃ μάλιςτα μεμίμηται Δημοςθένης.

17—18 fusius exsecutus est Libanius, uide fr. 125 *a*.

16—18 tetigit Leo l. s. p. 33; hic quoque Caecilium fon-

---

2 *αὐτῷ* A, *τῷ* uulg. 5. 6 *μέτεστιν αὐτῷ* A, *μέτεστιν παρ' αὐτῷ* uulg.

tem esse statuere uidetur. 19—22 etiam Blass l. s. II p. 499 Caecilio attribuit. 21 de uocabulo *πολιτικόν* cf. Brandstaetter (*Leipziger studien* XV 1893 p. 174) et Blass l. s. adn. 1.

125a Libanius proleg. Demosth. p. 3 Reiske: τοὺς δὲ λόγους τοὺς ἐπιτροπικοὺς εἰσὶν οἵ φασιν Ἰσαίου καὶ οὐ Δημοσθένους εἶναι, διὰ τὴν ἡλικίαν τοῦ ῥήτορος ἀπιστοῦντες, ὀκτωκαίδεκα γὰρ ἐτῶν ἦν, ὅτε πρὸς τούτους ἠγωνίζετο, καὶ ὅτι δο-
5 κοῦσιν οἱ λόγοι τὸ τοῦ Ἰσαίου πως ἐπιφαίνειν εἶδος.

uide, quae ad u. 17—18 fragmenti 125 dixi.

ϛʹ. *Αἰσχίνης*

126 (= 12[a] B.) Ps. Plutarchus de uitis X orat. p. 840 b = Aeschines p 1, 13 Bl. (cf. Photius bibl. cod. 264 p. 490[b] 15): ἀκροατὴς δὲ γενόμενος, ὥς μέν τινες λέγουσιν, Ἰσοκράτους καὶ Πλάτωνος, ὡς δὲ Κε-
10 κίλιος, Λεωδάμαντος, κτλ.

eadem, at multo ampliora fr. 126 *a* exhibet; inspicienda sunt etiam fr. 126 *b* et 127 *c*, 18—19.

126a (u. 11—17 = 12[b] B.) Scholion Aeschinis or. II de falsa legatione init. p. 6 Schultz = p. 6 adn. et 12 Bl.: ὅτι μαθητὴς ἐγένετο, ὡς μὲν Δημήτριος ὁ Φαληρεύς (fr. 18 FHG II 368) φησι, Σωκράτους τοῦ φιλοσόφου,
15 εἶθ' ὕστερον Πλάτωνος· ὡς δὲ Κεκίλιος καὶ Ἰδομενεὺς (fr. 15 FHG II 493) καὶ Ἕρμιππος (fr. 71 FHG III 51) ἱστοροῦσιν, οὐκ ἤκουσε τούτων τῶν ἀνδρῶν μαθήσεως χάριν.
12 Bl. φασὶ γὰρ ὡς ὅτι | „οὐδὲν τοῦ χαρακτῆρος τοῦ Πλα-

---

18 *φησὶ* i (cod. Paris. s. XIII). *ὅτι* om. i.

τωνικοῦ cῴζει, οὔτε τὸ ἀκριβὲc καὶ καθαρὸν καὶ ἀπέριττον ⟨οὔτε τὸ μεγαλοπρεπὲc καὶ *⟩ καὶ εὔρυθμον, ἀλλὰ κεχηνυῖά πώc ἐcτιν αὐτοῦ ἡ ἰδέα τοῦ λόγου, καὶ ἄτεχνοc μὲν καὶ προπετὴc καὶ εὐχερῶc ἐπὶ τὸ λοιδορεῖν αἰcχρῶc 5 καὶ ἀπρεπῶc ῥήτορι ἐξαγομένη, ἔχουcα δέ τι εὐφυὲc καὶ εὐάγωγον, καὶ οἷον ἂν γένοιτό τινι ἐκ φύcεωc καὶ μελέτηc ἀφανοῦc".

cf. fr. 126 et fr. 126*b* et 127*c*, 18—19, ubi idem affirmatur. etiam uerba in p. 108, 18 — 109, 8 exstantia Caecilii esse docet conexus (cf. Blass *Griech. ber.* p. 59 s, 3; Blass l. s. III 2 p. 156 s, 4, p. 157, p. 188 s, p. 225, 4, p. 227, 2; Blass in editione Aeschinis p. 12, 1; Brzoska l. s. p. 1183).

126b Scholion Aeschinis or. I 4 p. 254 Schultz: . . . καὶ ἐκ τούτων δὲ δῆλον ὡc οὐδὲ ἤκουcε Πλάτωνοc, οὗτοc μὲν γάρ 10 φηcι τρεῖc εἶναι πολιτείαc, Πλάτων δὲ καὶ δύο καὶ πέντε καὶ ἑπτά.

cf. etiam fr. 126, fr. 126*a*, fr. 127*c*, 18—19.

127 (= 13^b^ B.) Photius bibl. cod. 61 p. 20^a^ 9 = p. 8, 19 Bl.: φέρεται δὲ αὐτοῦ καὶ ἄλλοc λόγοc, ὁ Δηλιακὸc λεγόμενοc· οὐκ ἐγκρίνει δὲ αὐτὸν ὁ Κεκίλιοc, ἀλλ' Αἰcχίνην ἄλλον cύγχρονον τοῦδε Ἀθηναῖον τὸν 15 πατέρα εἶναι τοῦ λόγου φηcίν.

13 s cf. fr. 127*a*, 4 s et 127*b*, 11. 15—16 cf. fr. 127*c*, 19—21 et 127*d*, 2 s. cf. etiam fr. 124.

---

1. 2 post *καθαρὸν* scr. Reiske *οὔτε τὸ ἀπ.*, Blass lacunam statuere post *ἀπέριττον* mauult et coni. dubitanter ⟨*οὔτε τὸ μεγαλοπρεπὲς καὶ* *⟩ *καὶ εὔρ.* 14 *λεγόμενος* Blass, *νόμος* libri. *Καικίλιος* edunt, *κικίλλος* A, *κικίλιος* uulg.

127a (= 13ᵃ B.) Ps. Plutarchus de uitis X orat. p. 840 e
3 Bl. = 2, 27 Bl.: φέρονται δ' αὐτοῦ λόγοι τέσσαρες, ὅ τε Κατὰ | Τιμάρχου καὶ ὁ Περὶ τῆς παραπρεσβείας καὶ ὁ Κατὰ Κτησιφῶντος, οἳ καὶ μόνοι εἰσὶ γνήσιοι· ὁ γὰρ ἐπιγραφόμενος Δηλιακὸς οὐκ
5 ἔστιν Αἰσχίνου. ἀπεδείχθη μὲν γὰρ ἐπὶ τὴν κρίσιν τὴν περὶ τοῦ ἱεροῦ τοῦ ἐν Δήλῳ συσταθεῖσαν συνήγορος, οὐ μὴν εἶπε τὸν λόγον· ἐχειροτονήθη γὰρ Ὑπερείδης ἀντ' αὐτοῦ, ὥς φησι Δημοσθένης (XVIII 134).

2—4 cf. fr. 127 *b*, ubi copiosius eadem tractantur. 4 s cf. fr. 127 et 127 *b*, 11.

127b Apollonius uita Aeschinis p. 268, 63 Westerm. =
10 p. 8, 1 Bl.: τριῶν δὲ ὄντων λόγων τῶν ὑπ' αὐτοῦ γεγραμμένων, καὶ τούτων δημοσίων, ὁ γὰρ Δηλιακὸς νόθος ἐστί, τὸν μὲν Κατὰ Κτησιφῶντος εὑρίσκομεν τελευταῖον γεγραμμένον· ἐπὶ γὰρ τῶν Ἀλεξάνδρου χρόνων γέγραπται· τῶν δὲ λοιπῶν περὶ τοὺς αὐτοὺς ὄντων χρόνους πρότερός ἐστι τῇ τάξει ὁ Κατὰ Τι-
15 μάρχου· ἐν γὰρ τῷ μετ' αὐτόν, τῷ Περὶ τῆς παραπρεσβείας, μέμνηται ὁ Αἰσχίνης τούτου τοῦ λόγου.

11 uide fr. 127, 13 s et fr. 127 *a*, 4 s. ad totum fr. uide fr. praeced. u. 2—4.

127c Apollonius uita Aeschinis p. 266, 33 Westerm. = p. 6, 21 Bl.: φασὶ μέντοι τινὲς αὐτὸν ἀκουστὴν γενέσθαι Πλά-
7 Bl. τωνός τε καὶ Σωκράτους, ψευδό|μενοι. ἦν δὲ καὶ ἕτερος ῥή-
267 W. τωρ | Αἰσχίνης Ἐλευσίνιος, ὃς καὶ τέχνας λέγεται ῥητορικὰς γε-
21 γραφέναι.

18—19 ad eadem ad quae fr. 126 et fr. 126 *a* et 126 *b* spectant; u. 19—21 ad fr. 127, 15—16 et ad fr. 127 *d*, 2 s referendi sunt.

---

3 *ὁ περὶ τῆς* Blass, *ὁ παρὰ τῆς* cod. H (Parisinus), *ὁ τῆς* ceteri. 5 *τὴν περὶ* Duebner, *τοῦ περὶ* libri. 6 *συσταθεῖσαν* Westermann, *συσταθεὶς* libri. 11 *καὶ νόθος* libri praeter unum. 19 *Σωκράτους*] ‚rectius *Ἰσοκρ.*' Blass, cf. fr. 126, 9.

***127 d** Laertivs diogenes II 64: γεγόναcι δ' Αἰcχίναι ὀκτώ. πρῶτος αὐτὸς οὗτος· δεύτερος δ' ὁ τὰς τέχνας γεγραφὼς τὰς ῥητορικάς· τρίτος ὁ ῥήτωρ ὁ κατὰ Δημοσθένην· τέταρτος Ἀρκάς, μαθητὴς Ἰσοκράτους· πέμπτος ὁ Μυτιληναῖος, ὃν καὶ ῥητορομάστιγα ἐκάλουν· ἕκτος Νεαπολίτης, φιλόσοφος ἀκαδημαϊκός, 5 Μελανθίου τοῦ Ῥοδίου μαθητὴς καὶ παιδικά· ἕβδομος Μιλήσιος, πολιτικὸς συγγραφεύς· ὄγδοος ἀνδριαντοποιός.

hic catalogus Aeschinum referendus est ad fr. 127, 15—16 et fr. 127 *c*, 19—21. auctorem Laertii Caecilium esse Maass l. c. p. 131 affirmauit.

128 Photivs bibl. cod. 61 p. 20ᵇ 8 = p. 10, 1 Bl.: ἔστι δὲ ὁ λόγος αὐτῷ ὥσπερ αὐτοφυὴς καὶ αὐτοσχέδιος, οὐ τοσοῦτον διδοὺς τὴν τέχνην ἀποθαυμάζειν τοῦ ἀνδρός, ὅσον τὴν φύσιν. 10 καὶ γὰρ ὅσα δεινότητος ἔχεται, ταῦτα ἔστιν εὑρεῖν παρὰ τοῖς λόγοις αὐτοῦ, καὶ ἃ φύσεως μᾶλλόν ἐστι δείγματα. περί τε γὰρ τὴν ὀνομασίαν ἐστὶν ἀφελὴς καὶ εὔσημος, καὶ περὶ τὴν τῶν λόγων σύνθεσιν οὔτε ἄγαν ἄτονος ὥσπερ Ἰσοκράτης, οὔτε πεπιεσμένος καὶ συνεσφιγμένος ὥσπερ Λυσίας, πνεύματι δὲ καὶ τόνῳ 15 οὐδὲν Δημοσθένους ἀπολείπει. σχήματι δὲ κέχρηται διανοίας τε καὶ λέξεως οὐ πρὸς τὸ δοκεῖν τι σὺν τέχνῃ λέγειν, ἀλλὰ πρὸς τὸ ἀναγκαιότατον τοῖς ὑποκειμένοις πράγμασιν. διὸ καὶ ἀπάνουργός πως ὁ λόγος εἶναι δοκεῖ, καὶ πρὸς τὰς ἐν πλήθει ῥητορείας καὶ τοὺς ἰδιωτικοὺς λόγους μάλιστ' ἂν πρέπων· καὶ γὰρ οὐδὲ 20 ἐπιχειρήμασιν οὐδὲ ἐνθυμήμασι συνεχής τις καὶ λίαν ἐκβεβιασμένος.

13 ss cf. fr. 144 p. 126, 8 ss. 16 ss cf. fr. 71, 20—22. in his uerbis Caecilii ingenium exstare Blass l. c. III 2 p. 189 et ei adstipulatus Brzoska l. c. p. 1183 contendunt.

---

11 *καὶ γὰρ* — 12 *δείγματα* ‚pugnant cum superioribus, uidenturque diuersa duo iudicia commixta esse' Blass. 19 *πρὸς* Blass, *ὡς* libri. 19. 20 *τὰς . . ῥητορείας καὶ τοὺς ἰδιωτικοὺς λόγους* A, *ταῖς . . ῥητορείαις καὶ τοῖς ἰδιωτικοῖς λόγοις* uulg. 20 *μάλιστ' ἂν πρέπων* Blass, *μάλιστα ἐμπρέπων* libri.

Ζ'. Λυκοῦργος

129 Ps. Plvtarchvs de uitis X orat. p. 842 e = Lycurgus p. XXVI Bl.: ἐτάφη | δ' αὐτὸς καὶ τῶν ἐκγόνων τινὲς δημοσίᾳ, καὶ ἔστιν αὐτῶν τὰ μνήματα ἄντικρυς τῆς Παιωνίας Ἀθηνᾶς ἐν τῷ Μελανθίου τοῦ φιλοσόφου κήπῳ, τράπεζαι πεποιημέναι αὐτοῦ 5 τε τοῦ Λυκούργου καὶ τῶν παίδων αὐτοῦ ἐπιγεγραμμέναι καὶ εἰς ἡμᾶς ἔτι σῳζόμεναι. [p. XXVII Bl.]

haec uerba, quae Heliodori (*Περὶ ⟨τῶν Ἀθήνησι⟩ μνημάτων*) sunt, Caecilius Pseudoplutarcho suppeditauit: cf. Keil Hermes XXX p. 200 et 207 (236).

130 (p. 113, 5—12 = 14, 1—8 B.) Ps. Plvtarchvs de uitis X orat. p. 842 f = p. XXVII Bl.: ἔσχε δὲ τρεῖς παῖδας ἐκ Καλλιστοῦς τῆς Ἅβρωνος μὲν θυγατρός, Καλλίου δὲ τοῦ Ἅβρωνος 10 Βατῆθεν ἀδελφῆς, τοῦ ταμιεύσαντος στρατιωτικῶν ἐπὶ Χαιρώνδου 843 ἄρχοντος. περὶ δὲ τῆς κηδείας ταύτης λέγει ὁ Δείναρχος ἐν τῷ Κατὰ Πιστίου (fr. ₂XV 1 OA II 331ᵇ Tur.). κατέλιπε δὲ παῖδας, Ἅβρωνα Λυκοῦργον Λυκόφρονα, ὧν ὁ Ἅβρων καὶ ὁ Λυκοῦργος ἄπαιδες μετήλλαξαν· ἀλλ' ὅ γε Ἅβρων καὶ πολιτευσάμενος ἐπι-15 φανῶς μετήλλαξεν. Λυκόφρων δὲ γήμας Καλλιστομάχην Φιλίππου | Αἰξωνέως ἐγέννησε Καλλιστώ. ταύτην δὲ γήμας Κλεόμβροτος Δεινοκράτους Ἀχαρνεὺς ἐγέννησε Λυκόφρονα· τοῦτον δ' ὁ πάππος εἰσεποιήσατο Λυκόφρων· οὗτος δ' ἐτελεύτησεν ἄπαις. μετὰ δὲ b τὴν Λυκόφρονος τελευτὴν ἔγημε τὴν Καλλιστὼ Σωκράτης καὶ 20 ἔσχεν υἱὸν Σύμμαχον· τοῦ δ' ἐγένετο Ἀριστώνυμος, τοῦ δὲ Χαρμίδης, τοῦ δὲ Φιλίππη, ταύτης δὲ καὶ Λυσάνδρου Μήδειος, ὁ καὶ ἐξηγητὴς ἐξ Εὐμολπιδῶν γενόμενος· τούτου δὲ καὶ Τιμοθέας τῆς Γλαύκου παῖδες Λαοδάμεια καὶ Μήδειος, ὃς τὴν ἱερωσύνην Ποσειδῶνος Ἐρεχθέως εἶχε, καὶ Φιλίππη, ἥτις ἱεράσατο τῆς Ἀθηνᾶς 25 ὕστερον· πρότερον δ' αὐτὴν γήμας Διοκλῆς ὁ Μελιτεὺς ἐγέννησεν Διοκλέα τὸν ἐπὶ τοὺς ὁπλίτας στρατηγήσαντα· γήμας δ' οὗτος [p. XXVIII Bl.]

---

2 *προγόνων* scr. Blass. 9 *Καλλίου* Salmasius, *καλαιοῦ* libri. 12 *Πιστίου* Meursius ex Harpocratione s. u. *βουλεύσεως*, *παστίου* libri. 16 *Αἰξωνέως* Xylander, *ἀειξενέος* libri. 25 *Μελιτεὺς* Coraes, *Μελιττεὺς* libri.

Ἡδίϲτην Ἄβρωνοϲ Φιλιππίδην καὶ Νικοϲτράτην ἐγέννηϲε· γήμαϲ c
δὲ τὴν Νικοϲτράτην Θεμιϲτοκλῆϲ ὁ Θεοφράϲτου, ὁ δᾳδοῦχοϲ,
ἐγέννηϲε Θεόφραϲτον καὶ Διοκλέα. διετάξατο δὲ καὶ τὴν ἱερω-
ϲύνην τοῦ Ποϲειδῶνοϲ Ἐρεχθέωϲ.

φέρονται δὲ τοῦ ῥήτοροϲ λόγοι πεντεκαίδεκα. 5

ἐϲτεφανώθη δὲ ὑπὸ τοῦ δήμου πολλάκιϲ καὶ εἰκόνων ἔτυχεν.
ἀνάκειται δ' αὐτοῦ χαλκῆ εἰκὼν ἐν Κεραμεικῷ κατὰ ψήφιϲμα ἐπ'
Ἀναξικράτουϲ ἄρχοντοϲ· ἐφ' οὗ ἔλαβε καὶ ϲίτηϲιν ἐν πρυτανείῳ p. XXIX
αὐτόϲ τε [καὶ] ὁ | Λυκοῦργοϲ καὶ ⟨ἀεὶ⟩ ὁ πρεϲβύτατοϲ αὐτοῦ Bl.
τῶν ἐκγόνων κατὰ τὸ αὐτὸ ψήφιϲμα· ἀποθανόντοϲ γὰρ Λυ- 10
κούργου ὁ πρεϲβύτατοϲ τῶν παίδων Λυκόφρων ἠμφιϲβήτηϲε 851 f
τῆϲ δωρεᾶϲ. ⟨ἔϲτι δὲ τὸ⟩ | ψήφιϲμα· „Λυκόφρων Λυκούρ- p. XXXI
γου Βουτάδηϲ ἀπεγράψατο αὐτῷ εἶναι ϲίτηϲιν ἐν πρυ- Bl.
τανείῳ κατὰ τὴν δοθεῖϲαν δωρεὰν ὑπὸ τοῦ δήμου Λυ-
κούργῳ Βουτάδῃ. ἐπὶ Ἀναξικράτουϲ ἄρχοντοϲ, ἐπὶ 15 852
⟨τῆϲ⟩ Ἀντιοχίδοϲ ἕκτηϲ πρυτανείαϲ, Ϲτρατοκλῆϲ Εὐ-
θυδήμου Διομειεὺϲ εἶπεν· ἐπειδὴ Λυκοῦργοϲ Λυκό-
φρονοϲ Βουτάδηϲ, παραλαβὼν παρὰ τῶν ἑαυτοῦ προ-
γόνων οἰκείαν ἐκ παλαιοῦ τὴν πρὸϲ τὸν δῆμον εὔ-
νοιαν, καὶ οἱ πρόγονοι οἱ Λυκούργου Λυκομήδηϲ τε 20
καὶ Λυκοῦργοϲ | καὶ ζῶντεϲ ἐτιμῶντο ὑπὸ τοῦ δήμου, p. XXXII
καὶ τετελευτηκόϲιν αὐτοῖϲ δι' ἀνδραγαθίαν ἔδωκεν ὁ Bl.
δῆμοϲ δημοϲίαϲ ταφὰϲ ἐν Κεραμεικῷ, καὶ Λυκοῦργοϲ
αὐτὸϲ πολιτευόμενοϲ νόμουϲ τε πολλοὺϲ καὶ καλοὺϲ b
ἔθηκε τῇ πατρίδι, καὶ γενόμενοϲ τῆϲ κοινῆϲ προϲόδου 25
ταμίαϲ τῇ πόλει ἐπὶ τρεῖϲ πεντετηρίδαϲ, καὶ διανεί-
μαϲ ἐκ τῆϲ κοινῆϲ προϲόδου μύρια καὶ ὀκτακιϲχίλια
καὶ ἐνακόϲια τάλαντα, πολλὰ δὲ τῶν ἰδιωτῶν διὰ πί-

---

3 *διετάξατο δὲ καὶ*] nil mutandum aut supplendum esse Keil l. s. p. 223 edocet. 9 *καὶ* damn. Wyttenbach. *ἀεὶ* add. Keil coll. locis qui sunt infra p. 115, 5 et 117, 21 et 119, 3. 10 *γὰρ* Keil, *τε* libri. 12 ea, quae post *δωρεᾶς* sequuntur, cum antecedentibus coniungenda esse Keil l. s. p. 211 docuit, quare *ἔστι δὲ τὸ* uel tale quid supplere uult. 16 *τῆς* add. M. H. E. Meier. *ἕκτης πρυτανείας* Schoemann, *ἐν τῇ πρυτανείᾳ* libri. 17 *Διομειεὺς* Xylander, *διομηδέος* H, *διομηδεὺς* ceteri libri. 20 *Λυκομήδης* Pinzger, *διομήδης* libri. 26 *ἐπὶ τρεῖς* AH (Parisini), *ἐπιτρέπει* ceteri libri.

cτεωc λαβὼν καὶ προδανείcαc [καὶ] εἰc τοὺc τῆc πό-
λεωc καιροὺc καὶ τοῦ δήμου, τὰ πάντα ἑξακόcια πεν-
τήκοντα τάλαντα, δόξαc δὲ ἅπαντα ταῦτα δικαίωc
διῳκηκέναι, πολλάκιc ἐcτεφανώθη ὑπὸ τῆc πόλεωc·
5 ἔτι δὲ αἱρεθεὶc ὑπὸ τοῦ δήμου χρήματα πολλὰ cυν-
ήγαγεν εἰc τὴν ἀκρόπολιν, καὶ παρεcκεύαcε τῇ θεῷ
κόcμον Νίκαc τε ὁλοχρύcουc πομπεῖά τε χρυcᾶ καὶ
ἀργυρᾶ καὶ κόcμον χρυcοῦν εἰc ἑκατὸν κανηφόρουc·
c χειροτονηθεὶc δ' ἐπὶ τὴν τοῦ πολέμου παραcκευήν,
10 ὅπλα μὲν πολλὰ καὶ βελῶν μυριάδαc πέντε ἀνήνεγκεν
εἰc τὴν ἀκρόπολιν, τετρακοcίαc ⟨δὲ⟩ τριήρειc πλωΐ-
μουc κατεcκεύαcεν τὰc μὲν ἐπιcκευάcαc, τὰc δὲ ἐξ
ἀρχῆc ναυπηγηcάμενοc· πρὸc δὲ τούτοιc ἡμίεργα παρα-
λαβὼν τούc τε νεωcοίκουc καὶ τὴν cκευοθήκην καὶ τὸ
15 θέατρον τὸ Διονυcιακὸν ἐξηργάcατο καὶ ἐπετέλεcεν,
τό τε cτάδιον τὸ Παναθηναϊκὸν καὶ τὸ γυμνάcιον ⟨τὸ⟩
p. XXXIII Bl. κατὰ τὸ Λύκειον κατεcκεύαcε, καὶ | ἄλλαιc πολλαῖc
καταcκευαῖc ἐκόcμηcε τὴν πόλιν· Ἀλεξάνδρου τε τοῦ
βαcιλέωc ἅπαcαν μὲν τὴν Ἀcίαν κατεcτραμμένου,
d 20 κοινῇ δὲ πᾶcι τοῖc Ἕλληcιν ἐπιτάττειν ἀξιοῦντοc,
ἐξαιτήcαντοc Λυκοῦργον ὡc ἐναντία πράττοντα αὐτῷ,
οὐκ ἐξέδωκεν ὁ δῆμοc ⟨διὰ τὸν⟩ παρ' Ἀλεξάνδρου
φόβον· καὶ διδοὺc πολλάκιc εὐθύναc τῶν πεπολιτευ-
μένων ἐν ἐλευθέρᾳ καὶ δημοκρατουμένῃ τῇ πόλει, δι-
25 ετέλεcεν ἀνεξέλεγκτοc καὶ ἀδωροδόκητοc τὸν ἅπαντα
p. XXXIV Bl. χρόνον· | ὅπωc ἂν εἰδῶcι πάντεc, διότι τοὺc προαιρου-
μένουc ὑπὲρ τῆc δημοκρατίαc καὶ τῆc ἐλευθερίαc δι-
καίωc πολιτεύεcθαι καὶ ζῶνταc μὲν περὶ πλείcτου
ποιεῖται, καὶ τελευτήcαcι δὲ ἀποδίδωcι χάριταc ἀει-
30 μνήcτουc· ἀγαθῇ τύχῃ, δεδόχθαι τῷ δήμῳ ἐπαινέcαι

1 *καὶ* del. Meier. 8 *ἀργυρᾶ* Coraes, *ἀργύρεα* libri. 9 *τὴν . . παρασκευήν* Nissen, *τῆς . . παρασκευῆς* libri. 11 *δὲ* add. Coraes. 15 *ἐξηργάσατο* Blass ex lap., *ἐξειργάσατο* libri. 16. 17 *τὸ κατὰ τὸ* Blass, *καὶ τὸ* libri. 21 *ἐξαιτήσαντος . . πράττοντα* Meziriacus, *ἐξαιτήσας . . πράττοντος* libri. *αὐτῷ* Blume, *αὐτοῦ* libri. 22 *διὰ τὸν* add. Wyttenbach. 28 *πλείστου* Meziriacus, *πλεῖστον* libri.

μὲν Λυκοῦργον Λυκόφρονος Βουτάδην ἀρετῆς ἕνεκα e
καὶ δικαιοσύνης, καὶ στῆσαι αὐτοῦ τὸν δῆμον χαλκῆν
εἰκόνα ἐν ἀγορᾷ, πλὴν εἴ που ὁ νόμος ἀπαγορεύει μὴ
ἱστάναι, δοῦναι δὲ σίτησιν ἐν πρυτανείῳ τῶν ἐκγόνων
ἀεὶ τῶν Λυκούργου τῷ πρεσβυτάτῳ εἰς ἅπαντα τὸν 5
χρόνον· ἀναθεῖναι δ' αὐτοῦ, καὶ εἶναι κύρια, πάντα τὰ
ψηφίσματα τὸν γραμματέα τοῦ δήμου ἐν στήλαις λι-
θίναις καὶ στῆσαι ἐν ἀκροπόλει πλησίον τῶν ἀναθη-
μάτων· εἰς δὲ τὴν ἀναγραφὴν τῶν στηλῶν δοῦναι τὸν
ταμίαν τοῦ δήμου πεντήκοντα δραχμὰς ἐκ τῶν εἰς τὰ 10
⟨κατὰ⟩ ψηφίσματα ἀναλισκομένων τῷ δήμῳ".

p. 112, 8 — 113, 5 Caecilium auctorem habere Keil Hermes XXX p. 223 s affirmat. idem uir doctus l. s. p. 207 et 211 ss et 219 s (236) etiam reliqua uerbose tractauit et ad eundem Caecilium, qui Heliodorum secutus esset, reuocauit.

131 Ps. Plutarchus de uitis X orat. p. 843 e = p. XXIX Bl.:
κατῆγον δὲ τὸ γένος ἀπὸ τούτων καὶ Ἐρεχθέως τοῦ | Γῆς καὶ p. XXX Bl.
Ἡφαίστου, τὰ δ' ἐγγυτάτω ἀπὸ Λυκομήδους καὶ Λυκούργου, οὓς
ὁ δῆμος ταφαῖς ἐτίμησε δημοσίᾳ· καὶ ἔστιν αὕτη ἡ καταγωγὴ 15
τοῦ γένους τῶν ἱερασαμένων τοῦ Ποσειδῶνος ἐν πίνακι τελείῳ,
ὃς ἀνάκειται ἐν Ἐρεχθείῳ, γεγραμμένος ὑπ' Ἰσμηνίου τοῦ Χαλ-
κιδέως. καὶ εἰκόνες ξύλιναι τοῦ τε Λυκούργου καὶ τῶν υἱῶν
αὐτοῦ, Ἅβρωνος Λυκούργου Λυκόφρονος, ἃς εἰργάσαντο Τίμαρχος f
καὶ Κηφισόδοτος, οἱ Πραξιτέλους υἱεῖς· τὸν δὲ πίνακα ἀνέθηκεν 20
Ἅβρων ὁ παῖς αὐτοῦ, λαχὼν ἐκ τοῦ γένους τὴν ἱερωσύνην καὶ
παραχωρήσας τῷ ἀδελφῷ Λυκόφρονι· καὶ διὰ τοῦτο πεποίηται
ὁ Ἅβρων προσδιδοὺς αὐτῷ τὴν τρίαιναν.

hunc locum ex Heliodori *Περὶ ⟨τῶν Ἀθήνησι⟩ μνημάτων*

---

4 *ἐκγόνων* Turicenses, *ἐγγόνων* libri. 6 *ἀναθεῖναι*] *ἀναγράψαι* coni. Meier; ,aut certe *ἀναγράψαντα* ante *ἐν στήλαις* addendum est' Blass. 8. 9 *ἀναθημάτων*] ,manca haec quoque uid.' Blass. 11 *κατὰ* suppl. Boeckh. 13 *ἀπὸ τούτων*] nil mutandum est, cf. Keil l. s. p. 207, 4. 18 *ξύλιναι* Sauppe, *ξύλινοι* libri. 19 *εἰργάσαντο*] scr. Blass *ἠργάσαντο*. 23 *προσδιδοὺς*] cf. Keil l. s. p. 208, 2.

depromptum esse et ob eam rem Caecilium Ps. Plutarchi auctorem esse Keil Hermes XXX p. 207 s (236) confirmauit.

***132** (= 15 B.) Svidas s. u. Λυκοῦργος = p. XLII Bl.: λόγοι δὲ αὐτοῦ εἰσι γνήσιοι οἱ σῳζόμενοι· Κατὰ Ἀριστογείτονος. Κατὰ Αὐτολύκου. Κατὰ Λεωκράτους. Κατὰ Λυκόφρονος β'. Κατὰ Λυσικλέους. Κατὰ Μενεσαίχμου. Κατὰ Δημάδου. Ἀπολογία πρὸς 5 τὸν αὐτὸν ὑπὲρ τῶν εὐθυνῶν. Πρὸς Ἰσχυρίαν. Πρὸς τὰς μαντείας. Περὶ τῆς διοικήσεως. Περὶ τῆς ἱερείας. Περὶ τῆς ἱερωσύνης.

Η'. Δημοσθένης

133 Ps. Plvtarchvs de uitis X orat. p. 845 d (cf. Photius bibl. cod. 265 p. 492ᵇ 18): ἑπτὰ δὲ καὶ τριάκοντα ἔτη γεγονώς, 10 λογιζομένοις ἀπὸ Δεξιθέου εἰς Καλλίμαχον, ἐφ' οὗ παρ' Ὀλυνθίων ἧκε πρεσβεία περὶ τῆς βοηθείας, ἐπεὶ ἐπιέζοντο ὑπὸ Φιe λίππου τῷ πολέμῳ, ἔπεισεν ἐκπέμψαι τὴν βοήθειαν· τῷ δ' ἑξῆς, ἐφ' οὗ Πλάτων ἐτελεύτησε, Φίλιππος Ὀλυνθίους κατεστρέψατο. ἔγνω δ' αὐτὸν καὶ Ξενοφῶν ὁ Σωκρατικὸς ἢ ἀρχόμενον ἢ ἀκμά-15 ζοντα· τῷ μὲν γὰρ τὰ Ἑλληνικὰ ἐτελεῖτο ⟨εἰς⟩ τὰ περὶ τὴν ἐν Μαντινείᾳ μάχην, ἄρχοντα δὲ Χαρικλείδην, ὁ δὲ πρότερον ἐπὶ Τιμοκράτους εἷλε τοὺς ἐπιτρόπους.

similis generis fr. 113 est.

u 8—12 Blass l. s. III 1 p. 7 et eum secutus Weise l. s. p. 32 s (cf. etiam Savppe l. s. p. 1664) Caecilio attribuerunt. sed ea quoque quae sequuntur huius rhetoris esse uidentur, cum hae duae partes arte cohaereant; cf. A. Schaefer *Demosthenes und seine zeit* III 2. 1858 p. 51.

134 Ps. Plvtarchvs de uitis X orat. p. 847 a: . . τὸ ἐπὶ τῆς εἰκόνος αὐτοῦ ἐλεγεῖον, ἐπιγεγραμμένον ὑπὸ τῶν Ἀθηναίων 20 ὕστερον (cf. inscriptiones Graecae metricae 159 Preger)

---

3. 4 *Λυσικλέους* Meursius, *Πασικλέους* libri. 15 *εἰς* add. Xylander.

εἴπερ ἴσην ῥώμην γνώμῃ, Δημόσθενες, ἔσχες,
οὔποτ' ἂν Ἑλλήνων ἦρξεν Ἄρης Μακεδών.

κεῖται δ' ⟨ἡ⟩ εἰκὼν πλησίον τοῦ περισχοινίσματος καὶ τοῦ βωμοῦ τῶν δώδεκα θεῶν, ὑπὸ Πολυεύκτου πεποιημένη.

hunc locum ex Caecilio, qui Heliodorum testem habuisset, desumptum esse Keil Hermes XXX p. 208 s (236) docuit.

135 Ps. Plutarchus de uitis X orat. p. 847 d: ἔστι δ' αὐτοῦ (Δημοχάρους) εἰκὼν ἐν τῷ πρυτανείῳ εἰσιόντων πρὸς τὴν ἑστίαν ⟨ἐν⟩ δεξιᾷ ὁ πρῶτος περιεζωσμένος ἅμα τῷ ἱματίῳ καὶ ξίφος· οὕτω γὰρ δημηγορῆσαι λέγεται, ἡνίκα Ἀντίπατρος ἐξῄτει τοὺς ῥήτορας. χρόνῳ δ' ὕστερον Ἀθηναῖοι σίτησίν τ' ἐν πρυτανείῳ τοῖς συγγενέσι τοῦ Δημοσθένους ἔδοσαν καὶ αὐτῷ τετελευτηκότι τὴν εἰκόνα ἀνέθεσαν ἐν ἀγορᾷ ἐπὶ Γοργίου ἄρχοντος, αἰτησαμένου αὐτῷ τὰς δωρεὰς τοῦ ἀδελφιδοῦ Δημοχάρους, ᾧ καὶ αὐτῷ πάλιν ὁ υἱός, Λάχης Δημοχάρους Λευκονοεύς, ᾐτήσατο δωρεὰς ἐπὶ Πυθαράτου ἄρχοντος, δεκάτῳ ὕστερον ἔτει, εἰς τὴν e τῆς εἰκόνος στάσιν ἐν ἀγορᾷ καὶ σίτησιν ἐν πρυτανείῳ αὐτῷ τε καὶ ἐκγόνων ἀεὶ τῷ πρεσβυτάτῳ καὶ προεδρίαν ἐν ἅπασι τοῖς ἀγῶσι. καὶ ἔστι τὰ ψηφίσματα ὑπὲρ ἀμφοτέρων ἀναγεγραμμένα· Α'. „⟨Ἄρχων Γοργίας.⟩ Δημοχάρης Λάχητος Λευκονοεὺς αἰτεῖ Δημοσθένει τῷ Δημοσθένους Παιανιεῖ δωρεὰν εἰκόνα χαλκῆν ἐν ἀγορᾷ καὶ σίτησιν ἐν πρυτανείῳ καὶ προεδρίαν αὐτῷ καὶ ἐκγόνων ἀεὶ τῷ πρεσβυτάτῳ, εὐεργέτῃ καὶ συμβούλῳ γεγονότι πολλῶν καὶ καλῶν τῷ δήμῳ τῷ Ἀθηναίων καὶ τήν τε οὐσίαν εἰς τὸ κοινὸν καθεικότι τὴν ἑαυτοῦ καὶ ἐπιδόντι τάλαντα ὀκτὼ καὶ τριήρη, ὅτε ὁ δῆμος ἠλευθέρωσεν Εὔβοιαν·

(5 10 15 20 25; 850 f)

3 *ἡ* add. Duebner. 7 *ἐν* add. Westermann. 8 *ἐξῄτει* Lambinus, *ἐζήτει* libri. 13 cf. Keil l. s. p. 210, 1. 13 et 18. 19 *λευκονεὺς* libri; cf. p. 118, 32 s. 14 *δεκάτῳ ὕστερον ἔτει* Westermann, *δεκάτῳ δ' ἔτει ὕστερον εἰς* unus liber (E), *δεκάτῳ ὕστερον εἰς* ceteri. 17 decreta (p. 117, 18 — 119, 30) huc post *ἀναγεγραμμένα* e p. 850 f transponenda esse uidit Keil l. s. p. 210. 18 *Ἄρχων Γοργίας* add. Keil l. s. p. 211. *Δημοχάρης* ed. Basileensis, *Τιμοχάρης* libri. 21 *ἐκγόνων* Emperius, *ἐγγόνων* libri. 23 *δήμῳ τῷ* Ladek, *δήμῳ τῶν* libri.

καὶ ἑτέραν, ὅτε εἰϲ Ἑλλήϲποντον Κηφιϲόδωροϲ ἐξ-
851 έπλευϲε· καὶ ἑτέραν, ὅτε Χάρηϲ καὶ Φωκίων ϲτρατηγοὶ
ἐξεπέμφθηϲαν εἰϲ Βυζάντιον ὑπὸ τοῦ δήμου· καὶ λυ-
τρωϲαμένῳ πολλοὺϲ τῶν ἁλόντων ἐν Πύδνῃ καὶ Με-
5 θώνῃ καὶ Ὀλύνθῳ ὑπὸ Φιλίππου· καὶ χορηγίαν ἀνδρά-
ϲιν ἐπιδόντι, ὅτι ἐκλιπόντων τῶν Πανδιονιδῶν τοῦ
χορηγεῖν ἐπέδωκε καὶ καθώπλιϲε τοὺϲ πολίταϲ τῶν
ἐλλειπόντων· καὶ εἰϲ τὴν τειχοποιίαν ἀνάλωϲε χειρο-
τονηθεὶϲ ὑπὸ τοῦ δήμου, ἐπιδόντοϲ αὐτοῦ τρία τά-
10 λαντα καὶ ἃϲ ἐπέδωκε δύο τάφρουϲ περὶ τὸν Πειραιᾶ
ταφρεύϲαϲ· καὶ μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην ἐπέδωκε
b τάλαντον, καὶ εἰϲ τὴν ϲιτωνίαν ἐπέδωκεν ἐν τῇ ϲιτο-
δείᾳ τάλαντον· καὶ ὅτι εἰϲ ϲυμμαχίαν τῷ δήμῳ προϲ-
ηγάγετο πείϲαϲ καὶ εὐεργέτηϲ γενόμενοϲ καὶ ϲύμβου-
15 λοϲ, δι' ὧν ἔπειϲε Θηβαίουϲ Εὐβοεῖϲ Κορινθίουϲ Με-
γαρεῖϲ Ἀχαιοὺϲ Λοκροὺϲ Βυζαντίουϲ Μεϲϲηνίουϲ, καὶ
δυνάμειϲ ἃϲ ϲυνεϲτήϲατο τῷ δήμῳ καὶ τοῖϲ ϲυμμάχοιϲ,
πεζοὺϲ μὲν μυρίουϲ, ἱππέαϲ δὲ χιλίουϲ, καὶ ϲύνταξιν
χρημάτων ἣν ἔπειϲε πρεϲβεύϲαϲ διδόναι τοὺϲ μὲν ϲυμ-
20 μάχουϲ εἰϲ τὸν πόλεμον πλείω πεντακοϲίων ταλάντων·
καὶ ὡϲ ἐκώλυϲε Πελοποννηϲίουϲ ἐπὶ Θήβαϲ Ἀλεξάνδρῳ
c βοηθῆϲαι, χρήματα δοὺϲ καὶ αὐτὸϲ πρεϲβεύϲαϲ· καὶ
ἄλλων πολλῶν καὶ καλῶν τῷ δήμῳ ϲυμβούλῳ γεγονότι
καὶ πεπολιτευμένῳ τῶν καθ' ἑαυτὸν πρὸϲ ἐλευθερίαν
25 καὶ δημοκρατίαν ἄριϲτα· φυγόντι δὲ δι' ὀλιγαρχίαν,
καταλυθέντοϲ τοῦ δήμου, καὶ τελευτήϲαντοϲ αὐτοῦ ἐν
Καλαυρίᾳ διὰ τὴν πρὸϲ τὸν δῆμον εὔνοιαν, πεμφθέν-
των ϲτρατιωτῶν ἐπ' αὐτὸν ὑπὸ Ἀντιπάτρου, διαμεί-
ναντι ἐν τῇ πρὸϲ τὸ πλῆθοϲ εὐνοίᾳ καὶ οἰκειότητι, καὶ
30 οὔτε ὑποχειρίῳ γενομένῳ τοῖϲ ἐχθροῖϲ οὔτε ⟨τι⟩ ἀν-
άξιον ἐν τῷ κινδύνῳ πράξαντι τοῦ δήμου".
d Β'. „Ἄρχων Πυθάρατοϲ. Λάχηϲ Δημοχάρουϲ Λευκο-
νοεὺϲ αἰτεῖ δωρεὰν τὴν βουλὴν καὶ τὸν δῆμον τὸν Ἀθη-

---

13 *ὅτι* Westermann, *ὅτε* libri. 30 *τι* add. Meziriacus. 32. 33 *λευκονεὺς* et p. 119, 1 *λευκονεῖ* libri. 33 *τὸν* post *δῆμον* Ladek, *τῶν* libri.

ναίων Δημοχάρει Λάχητος Λευκονοεῖ εἰκόνα χαλκῆν ἐν ἀγορᾷ καὶ σίτησιν ἐν πρυτανείῳ ⟨αὐτῷ⟩ καὶ τῶν ἐκγόνων ἀεὶ τῷ πρεσβυτάτῳ καὶ προεδρίαν ἐν πᾶσι τοῖς ἀγῶσιν, εὐεργέτῃ καὶ συμβούλῳ γεγονότι ἀγαθῷ τῷ δήμῳ τῷ Ἀθηναίων καὶ εὐεργετηκότι τὸν δῆμον τάδε· πρε- 5 σβεύοντι καὶ γράφοντι καὶ πολιτευομένῳ * οἰκοδομὴν τειχῶν, καὶ παρασκευὴν ὅπλων καὶ βελῶν καὶ μηχανημάτων, καὶ ὀχυρωσαμένῳ τὴν πόλιν ἐπὶ τοῦ τετραετοῦς πολέμου, καὶ εἰρήνην καὶ ἀνοχὰς καὶ συμμαχίαν e ποιησαμένῳ πρὸς Βοιωτούς· ἀνθ' ὧν ἐξέπεσεν ὑπὸ 10 τῶν καταλυσάντων τὸν δῆμον· καὶ ὡς κατῆλθεν ἐπὶ Διοκλέους ἄρχοντος ὑπὸ τοῦ δήμου, συστείλαντι τὴν διοίκησιν πρώτῳ καὶ φεισαμένῳ τῶν ὑπαρχόντων καὶ πρεσβεύσαντι πρὸς Λυσίμαχον καὶ λαβόντι τῷ δήμῳ τριάκοντα τάλαντα ἀργυρίου καὶ πάλιν ἕτερα ἑκατόν· 15 καὶ γράψαντι πρεσβείαν πρὸς Πτολεμαῖον εἰς Αἴγυπτον, καθ' ἣν ἐκπλεύσαντες πεντήκοντα ἐκόμισαν τάλαντα ἀργυρίου τῷ δήμῳ· καὶ πρὸς Ἀντίπατρον πρεσβεύσαντι καὶ λαβόντι εἴκοσι τάλαντα ἀργυρίου καὶ f Ἐλευσῖνα κομισαμένῳ τῷ δήμῳ καὶ ταῦτα πείσαντι 20 ἑλέσθαι τὸν δῆμον καὶ πράξαντι, καὶ φυγόντι μὲν ὑπὲρ δημοκρατίας, μετεσχηκότι δὲ οὐδεμιᾶς ὀλιγαρχίας οὐδὲ ἀρχὴν οὐδεμίαν ἠρχότι καταλελυκότος τοῦ δήμου· καὶ μόνῳ Ἀθηναίων τῶν κατὰ τὴν αὐτὴν ἡλικίαν πολιτευσαμένων μὴ μεμελετηκότι τὴν πατρίδα κινεῖν 25 ἑτέρῳ πολιτεύματι ἢ δημοκρατίᾳ· καὶ τὰς κρίσεις καὶ τοὺς νόμους καὶ τὰ δικαστήρια καὶ τὰς οὐσίας πᾶσιν Ἀθηναίοις ἐν ἀσφαλεῖ ποιήσαντι διὰ τῆς αὐτοῦ πολιτείας καὶ μηδὲν ὑπεναντίον τῇ δημοκρατίᾳ πεπραχότι μήτε λόγῳ μήτε ἔργῳ". ἡ δ' εἰκὼν τοῦ Δημοχάρους εἰς τὸ 30 847 e πρυτανεῖον μετεκομίσθη, περὶ ἧς προείρηται.

2 *αὐτῷ* add. Westermann. *ἐκγόνων* Emperius, *ἐγγόνων* libri. 5 *τῷ* Ladek, *τῶν* libri. 6 lacunam indic. Westermann, qui *ἀεὶ καλῶς καὶ καθαρῶς, καὶ κατεργασαμένῳ* uel similia excidisse putat. 10 *ὑπὸ* Westermann, *ἀπὸ* libri. 14 *πρεσβεύσαντι* Meziriacus, *πρεσβευόντων* duo codices AH (Parisini), *πρεσβευσάντων* ceteri. 20 *Ἐλευσῖνα* Niebuhr, *ἐλευσίνια* libri. 21 *ὑπὲρ* Xylander, *ὑπὸ* libri.

(= 16 B.) φέρονται δ' αὐτοῦ λόγοι γνήσιοι ἑξήκοντα πέντε (cf. Photius bibl. cod. 265 p. 490b 42).

uide, quae Keil Hermes XXX p. 209 ss et 219 s (236) de hoc loco profert; is uir doctus Caecilii uerba, ad Heliodori librum *Περὶ ⟨τῶν Ἀθήνησι⟩ μνημάτων* composita, fontem compilatoris esse argumentatus est. 1 cf. Diels l. s. p. XXII.

136 (u. 4—9 = 17a B.; u. 4—12 = Dionys. Hal. fr. 15 p. 290, 5 Vs. et R.) Scholion Demosthenis or.
5 Olynth. II init. p. 71, 1 Dind.: τοῦτον (τὸν λόγον) Διονύσιος προτάττει τῶν Ὀλυνθιακῶν, ἄρχοντάς τέ τινας καταλέγων καὶ ἐκ τοῦ προοιμίου πιστούμενος ἐκ περιχαρείας ληφθέντος. Κεκίλιος δὲ ἀντιλέγει πρῶτον ἀξιῶν τὸν πρῶτον νομιζόμενον. τὸ μὲν οὖν κατὰ τοὺς
10 ἄρχοντας ἐν ἱστορίᾳ κεῖται καὶ ἴσως οὐκ ἀκριβῆ τὸν ἔλεγχον ἔχει, τὸ δὲ κατὰ τὸ προοίμιον οὐκ αὔταρκες εἰς ἀπόδειξιν. ἑτέραν γὰρ ἔχει πρόφασιν τὸ νόημα. ἐξ αὐτῶν δὲ τῶν Δημοσθένους εὑρίσκεται πρῶτος ὁ 'Ἀντὶ πολλῶν'· ἐκεῖ γὰρ τὸ συμφέρον μάλιστα τὴν πλείστην
15 ἐξέτασιν εἴληφεν, ἐνταῦθα δὲ τὸ δυνατόν, οὐδεὶς δὲ περὶ τοῦ δυνατοῦ βουλεύεται μὴ πρότερον εἰ συμφέρει σκοπήσας. ἔπειτα παρείληφεν ἐν τῷ δευτέρῳ τινὰ ὡς ὁμολογούμενα, ἅπερ ἐν τῷ προτέρῳ μετὰ πολλῶν ἀποδείξεων κατεσκεύασεν, οἷον εὐθὺς τὸ περὶ τῆς τῶν θεῶν
20 εὐνοίας ἐνταῦθα μὲν ὡς ὁμολογούμενον ἐν προοιμίῳ τέθεικεν, ἐκεῖ δὲ δίκαιον λογιστὴν ἐζήτησε καὶ πολλὰς ἀποδείξεις ἐκόμισε τοῦ συμμάχους εἶναι τοὺς θεοὺς τῇ

17—21 similia in codicibus B T schol. Dem. (p. 74, 8—10 Dind.) exstant (= fr. 17b B.).

---

3 hoc fragmentum debetur codicibus R S. 5 *τοῦτον* coni. Dindorf, *τοῦτο* libri. 20 *ἐν* om. S.

πόλει. πρόδηλον οὖν ὅτι διὰ τοῦτο νῦν οὐ κατεσκεύασεν ὅτι ἦν ἐν ἐκείνῳ πρότερον ἀποδείξας. κεφάλαιον δὲ ἐν τῷ λόγῳ προηγούμενον καὶ μόνον ἐστὶ τὸ δυνατόν, καθαίρεσιν ἔχον τοῦ Φιλίππου.

ea, quae u. 9 ss leguntur, Burckhardt adn. 21 A. Schaefer praeeunte (*Demosthenes und seine zeit* II[2] p. 161, 4) non recte Caecilio abiudicauit.

137 (u. 6—9 = Dionys. Hal. fr. 16 p. 291, 1 Vs. et R.) 5 Scholion Demosth. or. Philippicae I 30 p. 155, 3 Dind.: ἃ μὲν ἡμεῖς] ἐντεῦθέν φησι Διονύσιος ὁ Ἁλικαρνασεὺς ἑτέρου λόγου εἶναι ἀρχήν. προοίμιον δέ, φησίν, οὐκ ἔχει, ἐπειδὴ δευτερολογία ἐστίν, ἐν αἷς ὡς ἐπὶ τὸ πλεῖστον οὐκ εἰσὶ προοίμια. οὐ λέγει δὲ ἀληθῆ· ἐπειδὴ γὰρ ἄνωθεν ὑπέσχετο περὶ πόρου χρημάτων 10 εἰπεῖν, νῦν τοῦτο δεικνύει· καὶ ἔστιν ὥσπερ ἐπίλογος, ὥσπερ ἐποίησε καὶ Ἰσοκράτης ἐν τῷ τοῦ Τραπεζιτικοῦ τέλει Κατὰ Λοχίτου αἰκίας ἐπίλογον θείς.

etiam hic ut supra (uide fr. 136) fortasse Caecilium contra Dionysium disputare Dindorf ad h. l. obseruauit; cui Brzoska l. c. p. 1182 adstipulatus est. sed Burckhardt adn. 21 et Blass l. c. III 1 p. 300, 2 in hoc loco Caecilii ingenium uix agnosci posse dicunt. cf. etiam Schaefer l. s. II[2] p. 67, 5.

***138** Argvmentvm Demosth. or. V de pace (in Schol. p. 158, 14 Dind.): *τινὲς δὲ ἐνόθευσαν τοῦτον τὸν λόγον* 15 *ὡς ἀνομοίαν ἔχοντα ὑπόθεσιν τῆς γνώμης αὐτοῦ, οὐ προσσχόντες ἀκριβῶς τῷ σκοπῷ τοῦ ῥήτορος. ἐπειδὴ γὰρ δοκεῖ ὑπὲρ Φιλίππου λέγειν, ὃ οὐδεπώποτε ὤφθη ποιήσας, ᾠήθησαν εἶναι αὐτοῦ τὸν λόγον ἀλλότριον.*

cum Dionysius (ad Amm. I 10 p. 269, 20 Vs. et R.) illam

---

5 fragmentum Dionysii debetur codicibus B T C F et editioni P, reliqua (u. 9 ss) in F P traduntur. 16 *ἔχοντα* Beck, *ἔχοντος* liber.

orationem Demostheni non abiudicauerit, fortasse Caecilius huius iudicii auctor statui potest.

139 (u. 1—15 = 18 B.) Libanius argumentum [Demosth.] or. VII de Halonneso p. 75 Reiske: ὁ δὲ λόγος οὐ δοκεῖ μοι Δημοσθένους εἶναι. δηλοῖ δὲ ἡ φράσις καὶ ἡ τῆς συνθέσεως ἁρμονία, πολὺ τὸν Δημοσθενικὸν πεφευγυῖα τύπον, ἀνειμένη τε
5 καὶ διαλελυμένη παρὰ τὴν ἰδέαν τούτου τοῦ ῥήτορος. καὶ μὴν καὶ τὸ ἐπὶ τέλει ῥηθὲν οὐ μικρὸν μαρτύριον τοῦ νόθον εἶναι τὸν λόγον 'εἴπερ ὑμεῖς τὸν ἐγκέφαλον ἐν τοῖς κροτάφοις καὶ μὴ ἐν ταῖς πτέρναις καταπεπατημένον φορεῖτε' (VII 45). ὁ μὲν γὰρ Δημοσθένης εἴωθε παρρησίᾳ χρῆσθαι, τοῦτο δὲ ὕβρις ἐστὶ καὶ
10 λοιδορία μέτρον οὐκ ἔχουσα. εὐτέλειά τε αὐτῷ δεινὴ πρόσεστι κατὰ τὴν ἑρμηνείαν, πρὸς δὲ τούτοις καὶ εὔηθες τὸ νομίζειν ἐν τοῖς κροτάφοις ἔχειν τοὺς ἀνθρώπους τὸν ἐγκέφαλον. ὑπώπτευσαν δὲ καὶ οἱ πρεσβύτεροι τὸν λόγον ὡς οὐ τοῦ ῥήτορος, καὶ πεφωράκασί γέ τινες ὄντα Ἡγησίππου καὶ ἀπὸ τῆς ἰδέας
15 τῶν λόγων (τοιαύτῃ γὰρ κέχρηται) καὶ ἀπὸ τῶν πραγμάτων·
76 R. κατὰ Καλλίππου γὰρ τοῦ Παιανιέως φησὶν ὁ τὸν λόγον γεγραφὼς ἀπενηνοχέναι γραφὴν παρανόμων, φαίνεται δὲ οὐχ ὁ Δημοσθένης, ἀλλ' ὁ Ἡγήσιππος τὴν κατὰ τοῦ Καλλίπου γραφὴν ἐνστησάμενος. νὴ Δία, ἀλλ' ὁ λόγος συμβουλεύει περὶ τῆς Ἁλον-
20 νήσου τοῖς Ἀθηναίοις μὴ λαμβάνειν αὐτήν, ἀλλ' ἀπολαμβάνειν, καὶ διαφέρεται περὶ τῶν ὀνομάτων, ταῦτα δὲ Αἰσχίνης φησὶ τὸν Δημοσθένην συμβεβουλευκέναι τοῖς Ἀθηναίοις. εἶτα τί τοῦτο; δύναται γὰρ τὴν αὐτὴν πεποιῆσθαι συμβουλὴν καὶ Δημοσθένης καὶ Ἡγήσιππος, ἐπεὶ καὶ τἄλλα τῆς αὐτῆς ἦσαν ἐν τῇ πολιτείᾳ
25 προαιρέσεως καὶ τοῖς φιλιππίζουσι τῶν ῥητόρων ἀντέλεγον, καὶ μέμνηται καὶ ὁ Δημοσθένης τοῦ Ἡγησίππου ὡς καὶ πρεσβεύσαντος μεθ' ἑαυτοῦ καὶ ἀντιταχθέντος τῷ Μακεδόνι. δῆλον οὖν ὅτι ὁ μὲν τοῦ Δημοσθένους λόγος ὁ περὶ τῆς Ἁλοννήσου ῥηθεὶς οὐ σῴζεται, ἐκείνου δὲ οὐκ ὄντος τὸν εὑρεθέντα προσέθεσαν
30 αὐτῷ, ἀφορμὴν ἔχοντες τὸ περὶ Ἁλοννήσου λόγον εἰρῆσθαι τῷ ῥήτορι, οὐκέτι δὲ ἐξετάζοντες εἰ τοῦτον εἰκὸς εἶναι τὸν ἐκείνου.

2—14 eadem fere, at breuiora, Photius bibl. cod. 265 p. 491ᵃ 2—12 tradit. 5—10 uide fr. 95 p. 86, 15 ss. 12—14 cf. fr. 141 p. 123, 12 — 124, 1.

Libanii et Photii auctorem primarium Caecilium esse Voemel (Hegesippi oratio de Halonneso ed. J. Th. Voemel. proleg. p. 22 s), Burckhardt fr. 18 et adn. 22, Sauppe l. c. p. 1664, Blass l. c. III 2 p. 138 ss et *archiv fuer papyrusforschung* III p. 288 et *liter. zentralblatt* 1906 p. 25 contendunt (cf. etiam R. Volkmann *die rhetorik der Griechen und Roemer*[2] 1885 p. 442).

***140** Didymus (in [Dem.] or. XI) col. 11, 7 p. 51 Diels et Schubart: ὑποτοπήσειε δ' ἄν τις οὐκ ἀπὸ σκοποῦ συμπεφορῆσθαι τὸ λογίδιον ἔκ τινων Δημοσθένους πραγματ⟨ει⟩ῶν ἐπισυντεθέν. καί εἰσιν οἵ φασιν Ἀναξιμένους εἶναι τοῦ Λαμψακηνοῦ τὴν συμβουλήν, νῦν δὲ ἐν τῇ ἑβδόμῃ τῶν Φιλιππικῶν ⟨ὅλ⟩ην ὀλίγου 5 δεῖν γράμμασιν αὐτοῖς ἐντετάχθαι. ἔνιοι δὲ καὶ πρὸ αὐτῶν φορτικωτέρως † ἡρμήνευσαν, καθάπερ τὸ 'ὀρρωδεῖν' (XI 2) ἥκιστα Δημοσθενικὸν ὂν καὶ εἴ τινα ἄλλα ὅμοια τούτων.

2 s hoc inter furta a Caecilio detecta referendum erat supra p. 71 adn. ad fr. 89.

in hoc loco Didymum Caecilio niti Blass *archiv fuer papyrusforschung* III p. 287 s et *liter. zentralblatt* 1906 p. 25 coniecit cum Dionysius Halicarnaseus (ad Amm. 10 p. 271, 4 ss Us. et R.) fons esse non posset. praeterea cf. Diels l. s. p. XXXIV s et p. XL et P. Wendland *Anaximenes von Lampsakos* 1905 p. 1 ss. a Blassio dissentit P. Wendland *Goett. gel. anz.* 1906 p. 361, 2.

141 (u. 9 — p. 124, 1 = 19 B.) Scholion [Demosth.] or. XVII de foedere Alexandri init. p. 254, 5 Dind.: . . . νοθεύεται ὁ ὑπὲρ τῶν πρὸς Ἀλέξανδρον συνθηκῶν καὶ νενόμισται 10 εἶναι τοῦ Δημοσθένους ἀλλότριος, ὥσπερ καὶ ὁ ἕβδομος τῶν Φιλιππικῶν, ὃν ὑπὲρ Ἀλοννήσου τινὲς ἐπιγράφουσιν. ἀμφοτέρους γὰρ τούτους ἀναφέρουσιν εἰς Ἡγήσιππον τὸν Κρώβυλον ἐπι-

12 — p. 124, 1 cf. fr. 139, 12—14.

---

3 πραγματειῶν Diels, πραγμάτων pap. 5 συμβουλήν, νῦν δὲ Diels, συμβουλὴν ταύτην, διὸ Blass. ὅλην suppl. Usener. 7 ἡρμήνευσαν corruptum uidetur, ἡρμηνεῦσθαι sc. φασίν coni. Diels. 8 ἄλλα] cf. [Dem.] XI 11 σκορακίζονται. 11 ὁ et 12 ἀλλότριος Hieron. Wolf, τὸ et ἀλλότριον libri. 14 Κρώβυλον Dindorf, κρόβυλον libri.

κληθέντα, Τιμάρχου δὲ ἀγαθὸν φίλον. ἐπάγουσι δὲ ἐγκλήματα τῷ λόγῳ, πρῶτον μὲν ⟨ὅτι⟩ αἱ εἰσαγωγαὶ τῶν κεφαλαίων ὕπτιαι καὶ ἱστορικαί, οἷαι καὶ αἱ παρ' Ἡροδότῳ ἔννοιαι. ἄλλο, ὅτι τοῦ πολιτικοῦ λόγου καὶ γοργότης καὶ τραχύτης καὶ τὰ τμητικά, ἐν
5 τούτῳ δὲ πολὺ τὸ ἀναβεβλημένον, εἶτα οὐδὲ τὸ πνεῦμα φαμὲν Δημοσθενικόν, ἀλλ' ἀσθενὲς καὶ ἄτονον καὶ ἀτελές. μέμφονται καὶ τῇ λέξει δικαίως· τὸ γὰρ (XVII 23) 'νεοπλούτου' καὶ (7) 'τυραννίζοντος' καὶ (11) 'βδελυρεύσεταί τις' καὶ ὅσα τοιαῦτα οὐ συνήθη Δημοσθένει. τό τε ἦθος τοῦ λόγου τὴν παρρησίαν οὐκ ἔχει κα-
10 θαρὰν τὴν Δημοσθενικήν, οὐδὲ τὴν ἐπίπληξιν ἐκείνην καὶ τὴν ἐλευθερίαν τὴν ἐλεγκτικήν· ὅλον δὲ τὸ εἶδος τοῦ λόγου σχεδὸν ὑπὸ καλύμματι κεῖται, πολὺ τῆς Δημοσθένους παρρησίας ἀποδέον. παρρησιάζεται γὰρ καὶ οὐ παρρησιάζεται, καὶ παρακαλεῖ
255 Dind. πρὸς | πόλεμον καὶ δέδοικε τὸν περὶ τούτου λόγον κατὰ μέσον
15 φόβου καὶ θάρσους οὔτε ὡς Δημοσθένης παρρησιαζόμενος οὔτε ὡς Δημοσθένης ὀκνῶν· ἐνδείκνυται μὲν γὰρ τὸ βούλεσθαι, ὥσπερ δὲ τὴν γλῶσσαν ἐμπεφραγμένος ὑπὸ τοῦ δέους τῶν συνθηκῶν ὑποκνεῖ, πλὴν εἰ μή τις αὐτὰ ταῦτα λέγει τῆς ἐκείνου δεινότητος ἄντικρυς εἶναι.

4 '*γοργότης* terminum uix nouit Caecilii aetas; reliqua egregia et certe non scholiastae' Radermacher.

Libanius argum. p. 211 R., Photius bibl. cod. 265 p. 491ᵃ 22—28, scholion Dem. p. 254, 1 Dind., quamquam similia tradunt, certe non Caecilium sequuntur, cum Hyperidem orationis auctorem statuant; eorum 'iudicium fortasse Dionysii est' (Dionys. Hal. fr. 17 p. 291 Vs. et R.).

20 **142** (= Dionys. Hal. fr. 18 p. 292, 11 Vs. et R.) Photius bibl. cod. 265 p. 491ᵃ 29: εἰσὶ δὲ οἳ καὶ τοὺς δύο Κατὰ Ἀριστογείτονος ὡς νόθους παραγράφονται, ἀλλ' οὗτοι καὶ ὀρφανοὺς αὐτοὺς ἀφιᾶσιν, οὐκ ἔχοντες εἰπεῖν τοὺς τεκόντας. ὧν εἷς γέγονε καὶ Διονύσιος ὁ Ἁλικαρνασσεύς, οὐδὲν μέγα τεκμήριον τῆς

2 *ὅτι* add. Radermacher; ,cf. sequens *ἄλλο, ὅτι*'. 6 *ἄτονον* Aldus, *ἄτοπον* libri. 12 *κάλυμμά τι* libri, em. Radermacher. 14 *κατὰ* Radermacher, *καὶ* libri; ,cf. Xenopho Cyrop. VII 5, 3'. 17 *ἐμπεφραγμένος* Wolf, *ἐκπεφραγμένος* libri.

ἰδίας ὑπολήψεως παρεχόμενος, οὐδὲ ἐκεῖνο συνιδεῖν ἐθελήσας, ὡς πολλῷ μείζων ἐστὶν ἤ περ ἡ ἐκείνου ἀπόφασις αὐτὸς ὁ Ἀριστογείτων ἀνομολογῶν Δημοσθένην κατ᾽ αὐτοῦ γεγραφέναι· καὶ γὰρ ἀπολογούμενος οὐκ ἐν τῷ παρέργῳ λέγων ἀλλ᾽ ἐπιμελῶς ἀνταγωνιζόμενος ἐν τῷ λόγῳ δείκνυται, ὃς ἐπιγέγραπται Ἀπολογία πρὸς τὴν ἔνδειξιν Λυκούργου καὶ Δημοσθένους. 5

ad hoc fr. cf. fr. 94 p. 81, 2 ss. u. prooemium p. XXVII s.

143 Photivs bibl. cod. 265 p. 491ᵇ 11: μάλιστα δὲ ὁ κατ᾽ Αἰσχίνου λόγος παρέσχεν αἰτίαν ἐν ὑπομνήμασι καταλελεῖφθαι οὔπω τὴν ἐργασίαν ἀπειληφὼς τελείαν· διότι καὶ ἃ πρὸς τὴν κατηγορίαν πολλὴν ἔσχε τὴν ἀμυδρότητα ἢ κουφότητα, ἐπὶ τῇ 10 τελευτῇ τοῦ λόγου παρέθετο· ὅπερ οὐκ ἂν περιεῖδεν ὁ ῥήτωρ, εἰς ἐξέτασιν ἀκριβεστέραν τῶν ἰδίων λόγων καταστάς. ἀλλὰ γὰρ οὐχ οὕτω πρόεισιν ὁ Λυσίου Κατὰ Μνησιπτολέμου λόγος, ἐν πᾶσι δὲ τοῖς δεομένοις μέρεσι τὸ παθητικὸν φυλάξας οὐδὲ παυόμενος τῆς ἐπιφορᾶς ἀπέστη, ἐπέτεινε δὲ μᾶλλον, οὐδὲ κατὰ τὸ τέλος 15 τοὺς ἀκροατὰς ἀποστὰς παροξύνειν.

13 ss cf. fr. 110 p. 99, 3 ss.
cf. de hoc loco Savppe l. s. p. 1665.

144 (u. 17—21 = 20 B.) Photivs bibl. cod. 265 p. 491ᵇ 29: καὶ τὸν ὑπὲρ Σατύρου δὲ λόγον τῆς ἐπιτροπῆς πρὸς Χαρίδημον οἱ μὲν πρὸς τὴν κρίσιν ἔχοντες τὸ ἀσφαλὲς Δημοσθένους λέγουσιν εἶναι, ὁ δὲ Καλλίμαχος, οὐδ᾽ ἱκανὸς ὢν κρίνειν, Δει- 20 νάρχου νομίζει. τινὲς δὲ αὐτὸν ὑπεβάλοντο Λυσίᾳ, καίτοι καὶ τὸν χρόνον ἔχοντες αὐτοῖς διαμαχόμενον καὶ τὸν τύπον ἅπαντα τῆς ἐργασίας καὶ τὰ πράγματα καὶ τὴν ἑρμηνείαν. μαρτυρία δὲ τοῦ Δημοσθενικὸν εἶναι τὸν λόγον καὶ ὁ πλαγιασμὸς καὶ ἡ συνέχεια τῶν περιόδων καὶ ἡ εὐτονία· ἐξ αὐτοῦ γὰρ τοῦ προοιμίου 25 τούτοις ὁ λόγος διαποικίλλεται. καὶ μὴν καὶ ἡ περὶ τῶν ὀνομάτων ἐκλογὴ εἰς τὸ ἄριστον ἀνηνέχθαι καὶ ἡ σύνθεσις εὖ ἔχειν πεφιλοτίμηται. μαρτυρεῖ δὲ καὶ τὰ σχήματα· ἔστι γὰρ συνεστραμμένα μετὰ γοργότητος καὶ ποικιλίαν τῷ λόγῳ παρεχόμενα· καὶ 29 γὰρ ἐρωτήσεις προ|βάλλεται καὶ ἀποστροφὰς καὶ τὸ ἀσύνδετον, 492ᵃ

---

30 *ἀποστροφὰς* Radermacher, *ὑποστροφὰς* libri.

οἷς μάλιστα Δημοσθένης χαίρει χρώμενος. ἀλλὰ καὶ ἡ σύνθεσις ἐπιμελὴς καὶ τὴν ἐνάργειαν τῷ κόσμῳ οὐ διαφθείρουσα, αἵ τε περίοδοι τῷ ἀπηρτισμένῳ συναγόμεναι καὶ τὸ πρέπον πανταχοῦ διασώζουσι. τὸ μὲν οὖν μηδενὸς φείδεσθαι συνθέσεως, ἀλλὰ 5 πάντα διειλῆφθαι περιόδοις ἔστι μὲν Ἰσοκράτους καὶ Λυσίου πρὸς Δημοσθένην κοινόν· ἡ δὲ κατὰ τὰς περιόδους ἐν τοῖς μεγέθεσι ποικιλία συμπληροῦσα τὰ κῶλα λαμβανομένη τὴν πρὸς ἐκείνους διαφορὰν ἀπεργάζεται, τοῦ μὲν Ἰσοκράτους ὡς τὰ πολλὰ μηκύνοντος τὴν ἐργασίαν αὐτῶν, τοῦ δὲ Λυσίου συντέμνοντος· ἐξ 10 ἑκατέρου δὲ τούτων τῷ Δημοσθένει τὸ πρέπον διασώζεται.

8 ss cf. fr. 128, 13 ss.

hoc iudicium Caecilium auctorem habere Savppio l. s. p. 1664 s, Vsenero et Radermachero in ed. Dionys. Hal. I p. 294 uidetur; cf. etiam Blass l. s. III 2 p. 189 s, 2 et III 1 p. 59 s.

***145** Libanivs argumentum [Demosth.] or. XXXV aduersus Lacritum p. 923 R.: *οὐκ ὀρθῶς δέ τινες ἐνόμισαν τὸν λόγον μὴ γνήσιον εἶναι, ἀμυδροῖς ἀπατηθέντες τεκμηρίοις. τὸ μὲν γὰρ τῆς φράσεως ἀνειμένον οὐκ ἀπρεπὲς ἰδιω-* 15 *τικοῖς ἀγῶσι, τὸν δὲ 'Δία τὸν ἄνακτα'* (40) *κατὰ τὴν τοῦ προσώπου τοῦ ὑποκειμένου συνήθειαν δῆλός ἐστιν ὠνομακώς, πρὸς δὲ τὴν παραγραφὴν ἀσθενέστερον ἀπήντηκε διὰ τὸ πρᾶγμα τὸ πονηρόν.*

uide prooemium p. XXX.

***146** Libanivs argumentum [Demosth.] or. LVIII contra 20 Theocrinem p. 1321 R.: *τοῦτον τὸν λόγον οὐκ οἶδ' ὅπως ἐν τοῖς ἰδιωτικοῖς ἀναγράφουσιν οἱ πολλοὶ δημόσιον ὄντα φανερῶς· δῆλον δὲ ἔσται τοῦτο ἐξ αὐτῆς τῆς ὑποθέσεως.*
idem (paullo infra): *τὸν δὲ λόγον οἱ πολλοὶ νομίζουσιν εἶναι Δεινάρχου, καίτοι γε οὐκ ἀπεοικότα τῶν τοῦ Δη-* 25 *μοσθένους.*

uide prooemium p. XXX.

147 Photivs bibl. cod. 265 p. 492ᵃ 23: καὶ τὸν Κατὰ Νεαίρας δὲ λόγον ὑπτιότητός τινες αἰτιώμενοι τῶν Δημοσθενικῶν

ἀποκρίνουσι λόγων, ὥσπερ καὶ τὸν περὶ ἔρωτος αὐτῷ γεγραμμένον καὶ τὸν Ἐπιτάφιον.'

in hoc loco doctrinam Caecilianam contineri Savppe l. s. p. 1664 putat. cf. quae Libanius in argumento orationis LIX p. 1344 Reiske dicit (uide Dionys. Hal. fr. 23 p. 294, 21 Vs. et R.): *καὶ τοῦτον (Κατὰ Νεαίρας) τὸν λόγον οὐκ οἴονται Δημοσθένους εἶναι, ὕπτιον ὄντα καὶ πολλαχῇ τῆς τοῦ ῥήτορος δυνάμεως ἐνδεέστερον.*

Θ'. Ὑπερείδης

148 (u. 10—11 = 22, 3—4 B.) Ps. Plvtarchvs de uitis X orat. p. 849 c = Hyperides p. XLII Blass: οἱ δ' ἐν Κλεωναῖς | ἀποθανεῖν αὐτὸν λέγουσιν ἀπαχθέντα μετὰ τῶν ἄλλων, ὅπου γλωττοτομηθῆναι καὶ διαφθαρῆναι ὃν προείρηται τρόπον· τοὺς δ' οἰκείους τὰ ὀστᾶ λαβόντας * θάψαι τε ἅμα τοῖς γονεῦσι πρὸ τῶν Ἱππάδων πυλῶν, ὥς φησιν Ἡλιόδωρος ἐν τῷ τρίτῳ Περὶ μνημάτων. νυνὶ δὲ κατερήρειπται τὸ μνῆμα καὶ ἔστιν ἄδηλον. . . (p. XLIII Bl.; 5; d)

φέρονται δ' αὐτοῦ λόγοι ἑβδομήκοντα ἑπτά, ὧν γνήσιοί εἰσι πεντήκοντα δύο (cf. Photius bibl. cod. 266 p. 495[b] 2). (10)

ἐγένετο δὲ καὶ πρὸς τὰ ἀφροδίσια καταφερής, ὡς ἐκβαλεῖν μὲν τὸν υἱόν, εἰσαγαγεῖν δὲ Μυρρίνην, τὴν πολυτελεστάτην ἑταίραν· ἐν Πειραιεῖ δ' ἔχειν Ἀρισταγόραν, ἐν Ἐλευσῖνι δ' ἐν τοῖς ἰδίοις κτήμασι Φίλαν τὴν Θηβαίαν, εἴκοσι μνῶν λυτρωσάμενος. . . | . . ὡμιληκὼς δὲ καὶ [δίκῃ] Φρύνῃ τῇ ἑταίρᾳ ἀσεβεῖν κρινομένῃ συνεξητάσθη· αὐτὸς γὰρ τοῦτο ἐν ἀρχῇ τοῦ λόγου δηλοῖ (fr. 171 Bl.[3])· μελλούσης δ' αὐτῆς ἁλίσκεσθαι, παραγαγὼν εἰς μέσον καὶ περιρρήξας τὴν ἐσθῆτα ἐπέδειξε τὰ στέρνα τῆς γυναικός, καὶ τῶν δικαστῶν εἰς τὸ κάλλος ἀπιδόντων ἀφείθη. (15; p. XLIV e Bl.; 20)

u. 3—11 Keil Hermes XXX p. 200 s (236) et 220 Caecilio adsignauit. 12 ss ex Idomeneo sumpta sunt (cf. Athenaeus XIII 590 c d e), quem fortasse Caecilius (cf. fr. 126 *a* p. 108, 15) exscribit (uide etiam Svsemihl *griech. litteratur in der Alexandrinerzeit* I p. 594).

---

7 post *λαβόντας* lacunam statuunt Franke, Blass, Keil. 15 *Φίλαν τὴν* ex Athenaeo XIII 590 d editores, *φίλτην* libri. 16 *ὡς εἰκὸς δὲ καὶ δίκῃ* libri, em. Buecheler.

Γ΄. *Δείναρχος*

149 (u. 23—26 = 23 B.) Ps. Plutarchus de uitis X orat. p. 850 b (cf. Photius bibl. cod. 267 p. 496ᵃ 40): Δείναρχος [Cωκράτους ἢ] Cωcτράτου, . . ὡς δέ τιcι δοκεῖ Κορίνθιος, ἀφικό-
c μενος εἰς Ἀθήνας ἔτι νέος, καθ' ὃν χρόνον Ἀλέξανδρος ἐπῄει
5 τὴν Ἀσίαν, κατοικήσας αὐτόθι ἀκροατὴς μὲν ἐγένετο Θεοφράστου τοῦ διαδεξαμένου τὴν Ἀριστοτέλους διατριβήν, ὡμίλησε δὲ καὶ Δημητρίῳ τῷ Φαληρεῖ. μάλιστα δὲ ⟨προσεῖχε⟩ τῷ πολιτεύεσθαι μετὰ τὴν Ἀντιπάτρου τελευτήν, τῶν μὲν ἀνῃρημένων ῥητόρων τῶν δὲ πεφευγότων. φίλος δὲ Κασάνδρῳ γενόμενος ὡς ἐπὶ
10 πλεῖστον προέκοψε χρήματα τῶν λόγων εἰσπραττόμενος, οὓς τοῖς
d δεομένοις συνέγραφεν. . . . . . χρόνῳ δ' ὕστερον αἰτιαθεὶς εἰς λόγους παραγίνεσθαι Ἀντιπάτρῳ καὶ Κασάνδρῳ περὶ τὴν κατάληψιν τῆς Μουνυχίας, ἡνίκα ὑπ' Ἀντιγόνου καὶ Δημητρίου ἐφρουρήθη, ἐπ' Ἀναξικράτους ἄρχοντος ἐξαργυρισάμενος τὰ πλεῖστα
15 τῆς οὐσίας ἔφυγεν εἰς Χαλκίδα. διατρίψας δ' ἐπὶ τῆς φυγῆς ὡς πεντεκαίδεκα ἔτη καὶ πολλὴν οὐσίαν κτησάμενος κατῆλθε πραξάντων αὐτῷ τὴν κάθοδον τῶν περὶ Θεόφραστον ἅμα τοῖς ἄλλοις φυγάσιν. καταλύσας δὲ παρὰ Προξένῳ ἑταίρῳ αὐτοῦ καὶ
e τὸ χρυσίον ἀπολέσας ἤδη γηραιὸς ὢν καὶ τὰς ὁράσεις ἀσθενής,
20 ⟨οὐ⟩ βουλομένου τοῦ Προξένου ἀναζητεῖν λαγχάνει αὐτῷ δίκην καὶ τότε πρῶτον εἶπεν ἐν δικαστηρίῳ· σῴζεται δ' αὐτοῦ καὶ ὁ λόγος.

φέρονται δ' αὐτοῦ καὶ λόγοι γνήσιοι ἑξήκοντα τέσσαρες. τούτων ἔνιοι παραλαμβάνονται ὡς Ἀριστογείτονος. Ζηλωτὴς δ'
25 ἐγένετο Ὑπερείδου ἢ ὥς τινες Δημοσθένους διὰ τὸ παθητικὸν καὶ [τὸ] σφοδρόν· ⟨καὶ⟩ τῶν σχημάτων δ' αὐτοῦ μιμητὴς ὑπάρχει.

cum tota narratione cf. Dionys. Hal. de Dinarcho 2 p. 299, 15 — 300, 22 Us. et R. in hanc uitam Radermacher l. c. p. 162 ss admodum copiose inquisiuit; qui eam ad Caecilium reuocandam esse confirmauit. ei aduersatus est

---

3 *Σωκράτους ἢ* damn. Radermacher. 4 *ἐπῄει* Xylander, *ἐπὶ* libri. 7 *προσεῖχε* add. Radermacher. 20 *οὐ* add. Xylander. 25. 26 *διὰ τὸ παθητικὸν Δημοσθένους καὶ τὸ σφοδρόν* libri, corr. Reiske. 26 *καὶ* add. Blass.

V. de Wilamowitz (*abhandl. d. gesellschaft d. wissenschaften zu Goett. phil.-hist. kl. NF.* IV 3 p. 70, 3). iam antea BVRCKHARDT (fr. 23) et una cum eo BLASS l. c. III 2 p. 306 uerba p. 128, 23—26 exstantia Calactino attribuerunt.

VIII

ΣΥΓΓΡΑΜΜΑΤΑ ΥΠΕΡ ΛΥΣΙΟΥ

150 (5 — p. 130, 8 = 24 B.) DE SVBLIMITATE XXXII 7 p. 59, 5 V.: *ὅτι μέντοι καὶ ἡ χρῆσις τῶν τρόπων, ὥσπερ τἆλλα πάντα καλὰ ἐν λόγοις, προαγωγὸν ἀεὶ πρὸς τὸ ἄμετρον, δῆλον ἤδη, κἂν ἐγὼ μὴ λέγω. ἐπὶ γὰρ τούτοις καὶ τὸν Πλάτωνα οὐχ ἥκιστα διασύρουσι, πολλάκις ὥσπερ ὑπὸ βακχείας τινὸς τῶν λόγων εἰς ἀκράτους καὶ ἀπηνεῖς μεταφορὰς καὶ εἰς ἀλληγορικὸν στόμφον ἐκφερόμενον. ʻοὐ γὰρ ῥᾴδιον ἐπινοεῖνʼ φησίν* (de legg. VI 773 c) *ʻὅτι πόλιν εἶναι ⟨δεῖ⟩ δίκην κρατῆρος κεκερασμένην, οὗ μαινόμενος μὲν οἶνος ἐγκεχυμένος ζεῖ, κολαζόμενος δʼ ὑπὸ νήφοντος ἑτέρου θεοῦ καλὴν κοινωνίαν λαβὼν ἀγαθὸν πόμα καὶ μέτριον ἀπεργάζεταιʼ. „νήφοντα γάρ“ φασί „θεὸν τὸ ὕδωρ λέγειν, κόλασιν δὲ τὴν κρᾶσιν, ποιητοῦ τινος τῷ ὄντι οὐχὶ νήφοντός ἐστι“.* (8) *τοῖς τοιούτοις ἐλαττώμασιν ἐπιχειρῶν ὅμως αὐτὸ καὶ ὁ Κεκίλιος ἐν τοῖς Ὑπὲρ Λυσίου συγγράμμασιν* | *ἀπεθάρρησεν τῷ παντὶ Λυσίαν* 60 V. *ἀμείνω Πλάτωνος ἀποφήνασθαι, δυσὶ πάθεσι*

---

10 *δεῖ* add. ex Plat. Manutius. 11. 12 *ἐγκεχυμένος* ex Plat. Manutius, *ἐκκεχυμένος* liber.

χρησάμενος ἀκρίτοις· φιλῶν γὰρ τὸν Λυσίαν ὡς οὐδ' αὐτὸς αὑτόν, ὅμως μᾶλλον μισεῖ τῷ παντὶ Πλάτωνα ἢ Λυσίαν φιλεῖ. πλὴν οὗτος μὲν ὑπὸ φιλονεικίας οὐδὲ τὰ θέματα ὁμολογούμενα,
5 καθάπερ ᾠήθη. ὡς γὰρ ἀναμάρτητον καὶ καθαρὸν τὸν ῥήτορα προφέρει πολλαχῇ διημαρτημένου τοῦ Πλάτωνος· τὸ δ' ἦν ἄρα οὐχὶ τοιοῦτον, οὐδὲ ὀλίγου δεῖ.

XXXIII (1) φέρε δή, λάβωμεν τῷ ὄντι καθαρόν τινα συγγραφέα
10 καὶ ἀνέγκλητον. ἆρ' οὐκ ἄξιόν ἐστι διαπορῆσαι περὶ αὐτοῦ τούτου καθολικῶς, πότερόν ποτε κρεῖττον ἐν ποιήμασι καὶ λόγοις μέγεθος ἐν ἐνίοις διημαρτημένοις ἢ τὸ σύμμετρον μὲν ἐν τοῖς κατορθώμασιν ὑγιὲς δὲ πάντη καὶ ἀδιάπτωτον; καὶ ἔτι νὴ Δία, πότερόν ποτε αἱ πλείους
15 ἀρεταὶ τὸ πρωτεῖον ἐν λόγοις ἢ αἱ μείζους δικαίως ἂν φέροιντο; ἔστι γὰρ ταῦτ' οἰκεῖα τοῖς περὶ ὕψους σκέμματα καὶ ἐπικρίσεως ἐξ ἅπαντος δεόμενα. (2) ἐγὼ δ' οἶδα μέν, ὡς αἱ ὑπερμεγέθεις φύσεις ἥκιστα καθαραί· τὸ γὰρ ἐν παντὶ ἀκριβὲς κίνδυνος μικρότητος, ἐν δὲ τοῖς μεγέθεσιν,
20 ὥσπερ ἐν τοῖς ἄγαν πλούτοις, εἶναί τι χρὴ καὶ παρολιγωρούμενον· μήποτε δὲ τοῦτο καὶ ἀναγκαῖον ᾖ, τὸ τὰς μὲν ταπεινὰς καὶ μέσας φύσεις διὰ τὸ μηδαμῆ παρακινδυνεύειν
61 V. μηδὲ ἐφίεσθαι τῶν ἄκρων ἀναμαρ|τήτους ὡς ἐπὶ τὸ πολὺ καὶ ἀσφαλεστέρας διαμένειν, τὰ δὲ μεγάλα ἐπισφαλῆ δι' αὐτὸ γί-
25 νεσθαι τὸ μέγεθος. (3) ἀλλὰ μὴν οὐδὲ ἐκεῖνο ἀγνοῶ τὸ δεύτερον, ὅτι φύσει πάντα τὰ ἀνθρώπεια ἀπὸ τοῦ χείρονος ἀεὶ μᾶλλον ἐπιγινώσκεται καὶ τῶν μὲν ἁμαρτημάτων ἀνεξάλειπτος ἡ μνήμη παραμένει, τῶν καλῶν δὲ ταχέως ἀπορρεῖ. (4) παρα-

28 — p. 131, 2 cf. fr. 150 *a*.

---

4 θέματα ⟨τίθησιν⟩ Reiske, malim θέματα ⟨θέμενος⟩ ὁμολογούμενα sc. ἀπεθάρρησε Vahlen. 5 post ᾠήθη lacunam indicauit Spengel. 19 κίνδυνος μικρότητος Vahlen, κίνδυνοι σμικρότητος liber. 21 τοῦτο Manutius, τούτου liber. 24 τὰ Robortellus, τὸ liber. 25 ἐκεῖνο Manutius, ἐκείνου liber.

τεθειμένος δ' οὐκ ὀλίγα καὶ αὐτὸς ἁμαρτήματα καὶ Ὁμήρου καὶ τῶν ἄλλων, ὅσοι μέγιστοι, καὶ ἥκιστα τοῖς πταίσμασιν ἀρεσκόμενος, ὅμως δὲ οὐχ ἁμαρτήματα μᾶλλον αὐτὰ ἑκούσια καλῶν ἢ παροράματα δι' ἀμέλειαν εἰκῇ που καὶ ὡς ἔτυχεν ὑπὸ μεγαλοφυΐας ἀνεπιστάτως 5 παρενηνεγμένα, οὐδὲν ἧττον οἶμαι τὰς μείζονας ἀρετάς, εἰ καὶ μὴ ἐν πᾶσι διομαλίζοιεν, τὴν τοῦ πρωτείου ψῆφον μᾶλλον ἀεὶ φέρεσθαι, κἂν εἰ μὴ δι' ἑνὸς ἑτέρου, τῆς μεγαλοφροσύνης αὐτῆς ἕνεκα· ἐπείτοιγε καὶ ἄπτωτος ὁ Ἀπολλώνιος ἐν τοῖς Ἀργοναύταις ποιητὴς κἀν τοῖς βουκολικοῖς 10 πλὴν ὀλίγων τῶν ἔξωθεν ὁ Θεόκριτος ἐπιτυχέστατος· ἆρ' οὖν ⟨οὐχ⟩ Ὅμηρος ἂν μᾶλλον ἢ Ἀπολλώνιος ἐθέλοις γενέσθαι; (5) τί δὲ Ἐρατοσθένης ἐν τῇ Ἠριγόνῃ; διὰ πάντων γὰρ ἀμώμητον | τὸ ποιημάτιον Ἀρχιλόχου πολλὰ καὶ ἀνοικονόμητα 62 V. παρασύροντος * κἀκείνης τῆς ἐκβολῆς τοῦ δαιμονίου πνεύ- 15 ματος ἣν ὑπὸ νόμον τάξαι δύσκολον, ἆρα δὴ μείζων ποιητής; τί δ' ἐν μέλεσι μᾶλλον ἂν εἶναι Βακχυλίδης ἕλοιο ἢ Πίνδαρος καὶ ἐν τραγῳδίᾳ Ἴων ὁ Χῖος ἢ νὴ Δία Σοφοκλῆς, ἐπειδὴ οἱ μὲν ἀδιάπτωτοι καὶ ἐν τῷ γλαφυρῷ πάντη κεκαλλιγραφημένοι, ὁ δὲ Πίνδαρος καὶ ὁ Σοφοκλῆς ὁτὲ μὲν οἷον 20 πάντα ἐπιφλέγουσι τῇ φορᾷ, σβέννυνται δ' ἀλόγως πολλάκις καὶ πίπτουσιν ἀτυχέστατα. ἢ οὐδεὶς ἂν εὖ φρονῶν ἑνὸς δράματος, τοῦ Οἰδίποδος, εἰς ταὐτὸ συνθεὶς τὰ Ἴωνος ἀντιτιμήσαιτο ἑξῆς; (1) εἰ δ' ἀριθμῷ, μὴ τῷ μεγέθει κρίνοιτο XXXIV τὰ κατορθώματα, οὕτως ἂν καὶ Ὑπερίδης τῷ παντὶ προ- 25 έχοι Δημοσθένους. ἔστιν γὰρ αὐτοῦ πολυφωνότερος καὶ πλείους ἀρετὰς ἔχων, καὶ σχεδὸν ὕπακρος ἐν πᾶσιν ὡς ὁ | πένταθλος, ὥστε τῶν μὲν πρωτείων ἐν ἅπασι τῶν ἄλλων ἀγωνιστῶν 63 V. λείπεσθαι, πρωτεύειν δὲ τῶν ἰδιωτῶν. (2) ὁ μέν γε Ὑπερίδης πρὸς τῷ πάντα ἔξω γε τῆς συνθέσεως μιμεῖσθαι τὰ Δη- 30 μοσθένεια κατορθώματα καὶ τὰς Λυσιακὰς ἐκ περιττοῦ περι-

---

6 ἀρετάς Petra, αἰτίας liber. 9. 10 ἀπόλλων τοῖς liber, corr. Spengel. 12 οὐχ add. Cobet. 14 Ἀρχιλόχου Manutius, ἀρχίλοχον liber. 15 παρασύροντος Manutius, παρασύροντας liber. post παρασύροντος Vahlen haec fere supplere uult: ⟨τῷ ῥοθίῳ τῆς φορᾶς⟩. 16 μείζων Vahlen, μεῖζον liber. 24 μεγέθει Pearcius, ἀληθεῖ liber.

εἴληφεν ἀρετάς τε καὶ χάριτας. καὶ γὰρ λαλεῖ μετὰ ἀφελείας,
ἔνθα χρή, καὶ οὐ πάντα ἑξῆς καὶ μονοτόνως, ὡς ὁ Δη-
μοσθένης λέγεται, τό τε ἠθικὸν ἔχει μετὰ γλυκύτητος ἡδὺ
λιτῶς ἐφηδυνόμενον· ἄφατοί τε περὶ αὐτόν εἰσιν ἀστεϊσμοί,
5 μυκτὴρ πολιτικώτατος, εὐγένεια, τὸ κατὰ τὰς εἰρωνείας εὐ-
πάλαιστρον, σκώμματα οὐκ ἄμουσα οὐδ' ἀνάγωγα κατὰ τοὺς
Ἀττικοὺς ἐκείνους ἀλλ' ἐπικείμενα, διασυρμός τε ἐπιδέξιος
καὶ πολὺ τὸ κωμικὸν καὶ μετὰ παιδιᾶς εὐστόχου κέντρον,
ἀμίμητον δὲ εἰπεῖν τὸ ἐν πᾶσι τούτοις ἐπαφρόδιτον· οἰκτίσα-
10 σθαί τε προσφυέστατος, ἔτι δὲ μυθολογῆσαι κεχυμένος καὶ ἐν
64 V. ὑγρῷ πνεύματι διεξοδεῦσαι ἔτι εὐ|καμπὴς ἄκρως, ὥσπερ ἀμέ-
λει τὰ μὲν περὶ τὴν Λητὼ ποιητικώτερα, τὸν δ' ἐπι-
τάφιον ἐπιδεικτικῶς, ὡς οὐκ οἶδ' εἴ τις ἄλλος, διέθετο. (3) ὁ
δὲ Δημοσθένης ἀνηθοποίητος ἀδιάχυτος, ἥκιστα ὑγρὸς ἢ ἐπι-
15 δεικτικός, ἁπάντων ἑξῆς τῶν προειρημένων κατὰ τὸ πλέον
ἄμοιρος, ἔνθα μὲν γελοῖος εἶναι βιάζεται καὶ ἀστεῖος, οὐ γέ-
λωτα κινεῖ μᾶλλον ἢ καταγελᾶται, ὅταν δὲ ἐγγίζειν θέλῃ τῷ
ἐπίχαρις εἶναι, τότε πλέον ἀφίσταται. τό γέ τοι περὶ Φρύνης
ἢ Ἀθηνογένους λογίδιον ἐπιχειρήσας γράφειν ἔτι μᾶλλον ἂν
20 Ὑπερίδην συνέστησεν. (4) ἀλλ' ἐπειδήπερ, οἶμαι, τὰ μὲν θα-
τέρου καλά, καὶ εἰ πολλά, ὅμως ἀμεγέθη ⟨καὶ ὡς ἐν⟩ καρδίᾳ
65 V. νήφοντος | ἀργὰ καὶ τὸν ἀκροατὴν ἠρεμεῖν ἐῶντα (οὐδεὶς γοῦν
Ὑπερίδην ἀναγινώσκων φοβεῖται), ὁ δὲ ἔνθεν ἑλὼν τοῦ
μεγαλοφυεστάτου καὶ ἐπ' ἄκρον ἀρετὰς συντετε-
25 λεσμένας, ὑψηγορίας τόνον, ἔμψυχα πάθη, περι-
ουσίαν ἀγχίνοιαν τάχος, ἔνθα δὴ κύριον, τὴν
ἅπασιν ἀπρόσιτον δεινότητα καὶ δύναμιν, ἐπειδὴ
ταῦτα, φημί, ὡς θεόπεμπτα δεινὰ δωρήματα (οὐ γὰρ εἰπεῖν
66 V. θεμιτὸν ἀνθρώ|πινα) ἀθρόα ἐς ἑαυτὸν ἔσπασεν, διὰ τοῦτο
30 οἷς ἔχει καλοῖς ἅπαντας ἀεὶ νικᾷ καὶ ὑπὲρ ὧν οὐκ ἔχει, καὶ
ὡσπερεὶ καταβροντᾷ καὶ καταφέγγει τοὺς ἀπ' αἰῶνος ῥήτορας·
καὶ θᾶττον ἄν τις κεραυνοῖς φερομένοις ἀντανοῖξαι τὰ ὄμ-

---

1 λαλεῖ μετὰ Pearcius, λαλεύματα liber. 11 ἄκρως Manutius, ἄκρος liber. 16 μὲν Finckh, μέντοι liber. 18 ἐπίχαρις Portus, ἐπιχαρης liber. Φρύνης Schurzfleisch, φρυγίης liber. 21 ⟨καὶ ὡς ἐν⟩ καρδίᾳ Vahlen, καρδίῃ liber. 31 καταφέγγει Manutius, καταφέγγῃ liber.

ματα δύναιτο ἢ ἀντοφθαλμῆσαι τοῖς ἐπαλλήλοις ἐκείνου πάθεσιν. (1) *ἐπὶ μέντοι τοῦ Πλάτωνος καὶ ἄλλη τίς ἐστιν, ὡς* XXXV *ἔφην, διαφορά. οὐ γὰρ μεγέθει τῶν ἀρετῶν ἀλλὰ καὶ τῷ πλήθει πολὺ λειπόμενος αὐτοῦ Λυσίας ὅμως πλεῖον ἔτι τοῖς ἁμαρτήμασιν περιττεύει ἢ ταῖς ἀρεταῖς λείπεται.* 5

de p. 129, 1 — 130, 8 fusius disputauerunt Brzoska l. s. p. 1183 s et imprimis Immisch l. s. p. 242 ss. in p. 130, 14—16 uestigia doctrinae Caecilianae subesse Martensio l. s. p. 11 assentior. in p. 131, 3 s exstantia uerba *ἁμαρτήματα ἑκούσια* iudicium Caecilii esse idem Martens l. s. p. 11 affirmat. p. 132, 12 ad Caecilium redire C. a Morawski *Rhein. Mus.* XXXIV p. 375 s, Coblentz l. s. p. 66 s, Brzoska l. s. p. 1180, Angermann l. s. p. 36 s probabiliter suspicati sunt. p. 132, 23—27 (de quo loco ex Peripatetico fonte petito cf. Radermacher in Demetr. de eloc. p. 77) Otto l. s. p. 42, 1 Caecilio uindicare uult.

150a De sublimitate XXXVI 2 p. 68, 5 V.: *εἴ γε ἐκλέξας τὰ Ὁμήρου, τὰ Δημοσθένους, τὰ Πλάτωνος, τῶν ἄλλων, ὅσοι δὴ μέγιστοι, παραπτώματα πάντα ὁμόσε συναθροίσειεν, κτλ.*

haec uerba referenda sunt ad fr. 150 p. 130, 28 — 131, 2. in utroque loco uitiorum collectionem a Caecilio propositam respici Martens l. s. p 11 et p. 6 et p. 12, 1 obseruauit.

151 De sublimitate XXXVI 3 p. 68, 13 V.: *πρὸς μέντοι γε* 10 *τὸν γράφοντα, ὡς „ὁ κολοσσὸς ὁ ἡμαρτημένος οὐ* | *κρείττων ἢ ὁ Πολυκλείτου δορυφόρος", παράκειται πρὸς* 69 V. *πολλοῖς* ⟨*ἄλλοις*⟩ *εἰπεῖν, ὅτι ἐπὶ μὲν τέχνης θαυμάζεται τὸ ἀκριβέστατον, ἐπὶ δὲ τῶν φυσικῶν ἔργων τὸ μέγεθος, φύσει*

ad hoc fr. uide fr. 3.

---

2. 3 *ὡς ἔφην*] cf. p. 130, 6. 4 *αὐτοῦ Λυσίας* Pearcius, *ἀκουσίας* liber. *ὅμως* Toupius, *ὁ μὲν* liber. 13 *ἄλλοις* add. V. de Wilamowitz.

δὲ λογικὸν ὁ ἄνθρωπος· κἀπὶ μὲν ἀνδριάντων ζητεῖται τὸ ὅμοιον ἀνθρώπῳ, ἐπὶ δὲ τοῦ λόγου τὸ ὑπεραῖρον, ὡς ἔφην, τὰ ἀνθρώπινα.

cf. Strabo VIII 6, 10 p. 372: *τὸ Ἡραῖον . ., ἐν ᾧ τὰ Πολυ-*
5 *κλείτου ξόανα τῇ μὲν τέχνῃ κάλλιστα τῶν πάντων, πολυτελείᾳ δὲ καὶ μεγέθει τῶν Φειδίου λειπόμενα.*

idem VIII 3, 30 p. 353: *τὸ τοῦ Διὸς ξόανον ὃ ἐποίει Φειδίας . . τηλικοῦτον τὸ μέγεθος ὡς καίπερ μεγίστου ὄντος τοῦ νεὼ δοκεῖν ἀστοχῆσαι τῆς συμμετρίας τὸν τεχνίτην, καθήμενον*
10 *ποιήσαντα, ἁπτόμενον δὲ σχεδόν τι τῇ κορυφῇ τῆς ὀροφῆς ὥστ' ἔμφασιν ποιεῖν, ἐὰν ὀρθὸς γένηται ἀναστάς, ἀποστεγάσειν τὸν νεών.*

τὸν γράφοντα neminem alium nisi Caecilium esse omnes consentiunt: cf. Iahn Hermes II p. 239, Blass *Griech. bereds.* p. 192, 1, Martens l. s. p. 12 s, Coblentz l. s. p. 61 s, Brzoska l. s. p. 1180, Roberts in edit. 1899 p. 222, Kaibel l. s. p. 131, V. de Wilamowitz in Strena Helbigiana 1900 p. 334 s. — sed cf. etiam Marx l. s. p. 177 s. de Strabonis locis allatis uide, quae V. de Wilamowitz l. s. p. 335 profert.

152 Hermias in Plat. Phaedr. schol. p. 9, 11 (cf. p. 12, 27 ss) Couvr.: *τὰ δὲ ἐγκλήματα νῦν λέγωμεν, ἅ τινες κατηγοροῦσι Πλάτωνος ἐπὶ τούτῳ τῷ συγγράμματι, ἵνα καὶ τούτων προδιευκρινη-*
15 *μένων ἡ ἀνάγνωσις λοιπὸν ἡμῖν ἀπερίσπαστος ᾖ. φασὶ γὰρ πρῶτον μὲν οὐ δεόντως κατ' ἔρωτος καὶ ὑπὲρ ἔρωτος πεποιῆσθαι αὐτὸν τὸν λόγον, ὥσπερ μειράκιον φιλοτιμούμενον εἰς ἑκάτερον· ἔπειτα τὸ ἀντιγράφειν τῷ Λυσίου λόγῳ καὶ ἁμιλλᾶσθαι βασκάνου τινὸς καὶ φιλονείκου*
20 *νέου ἔοικεν εἶναι, κωμῳδοῦντος τὸν ῥήτορα καὶ εἰς ἀτεχνίαν αὐτὸν διαβάλλοντος· ἔπειτα δὲ καὶ τῇ λέξει κεχρῆσθαι ἀπειροκάλῳ καὶ ἐξωγκωμένῃ καὶ στομφώδει καὶ ποιητικῇ μᾶλλον, ὡς καὶ αὐτὸς ἐπεσημήνατο* (238 d).

15—18 (= *ἔγκλημα* A) et 21—23 (= *ἔγκλημα* C) simillima Laertius Diogenes (fr. 152 *a*) tradit. 18—21 (= *ἔγκλημα* B) cf. eiusdem Laertii (fr. 152 *b*) similia uerba.

---

14. 15 *προδιευκρινημένων* Couvreur, *προδιευκρινομένων* libri.

πρὸς μὲν τὸ πρῶτον λεκτέον, ὅτι εἴωθε Πλάτων τῶν ἀντικειμένων λόγων ἐξέτασιν ποιεῖσθαι πρὸς εὕρεσιν καὶ βάσανον τῆς ἀληθείας· οὕτως καὶ ἐν Πολιτείᾳ (II 358 ss) *κατὰ δικαιοσύνης καὶ ὑπὲρ δικαιοσύνης ⟨καὶ⟩ ἐν Σοφιστῇ* (237 ss) *περὶ τοῦ ὄντος καὶ τοῦ μὴ ὄντος. καὶ νῦν οὖν κατ' ἔρωτος εἶπε πρὸς τὸ ὄνομα τὸ τῶν πολλῶν ἀπομαχόμενος, δεικνὺς ὅτι οὗτος οὐκ ἔστιν ἔρως ἀλλ' ὕβρις καὶ πάθος τι ψυχῆς· ἄλλος γάρ ἐστιν ὁ ὡς θεὸς Ἔρως, πολλῶν ἀγαθῶν τοῖς ἀνθρώποις ὢν χορηγὸς καὶ ἀναγωγεὺς τῶν ψυχῶν. ἀναγκαῖον οὖν ἦν ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων ἐπ' ἄμφω γυμνάσαι τοὺς περὶ ἔρωτος λόγους, ἐλέγχοντος τὴν | δόξαν τῶν πολλῶν, διὰ τὸ ἡγεῖσθαι αὐτοὺς ἐπ' ἄμφω ῥέπειν τὸν ἔρωτα. — πρὸς δὲ τὸ δεύτερον, τὸ ἀντιγράφειν Λυσίᾳ, ῥητέον, ὅτι, ὥσπερ ὁ θεωρητικὸς φιλόσοφος ὑπὲρ ὠφελείας τοῦ τῶν ἀνθρώπων γένους κατατάττει ἑαυτὸν εἰς διακόσμησιν πόλεως καὶ γίνεται πολιτικὸς καὶ δικαστής, τὸν αὐτὸν τρόπον καὶ ὁ φιλόσοφος ὁρῶν τὸν Φαῖδρον ἐπιτηδείως μὲν ἔχοντα πρὸς φιλοσοφίαν, βλαπτόμενον δὲ ὑπὸ τῆς συνουσίας τοῦ ῥήτορος καὶ εἰς τὰ τίμια βλαπτόμενον (αἰσχρῶς γὰρ αὐτοῦ ἐρῶν συνέθηκε τὸν λόγον ὁ Λυσίας, ἵνα αὐτὸν χειρώσηται), τούτου χάριν τὸ κακοῦργον αὐτοῦ τῆς ψυχῆς καὶ ἀπατηλὸν τό τε ἄθεον καὶ τὸ σκοτεινὸν ἐλέγχων ἠναγκάσθη εἰς τὴν αὐτὴν ὑπόθεσιν τῷ Λυσίᾳ καθεῖναι, ἵνα δείξῃ τὴν ἐμφωλεύουσαν ἀτοπίαν τῷ Λυσίου λόγῳ κατά τε τὰς λέξεις, ἃς ἐκπέπληκτο ὁ Φαῖδρος, καὶ κατὰ τὰ διανοήματα, ἐπανάγων αὐτὸν ἀπὸ τοῦ ἐκτὸς καὶ φαινομένου κάλλους ἐν λόγοις ψιλοῖς καὶ ἀθέοις ἐπὶ τὸ ψυχικὸν καὶ νοερὸν καλόν. — πρὸς δὲ τὸ τρίτον, τὸ τῆς λέξεως ἔξογκον, ῥητέον ὡς οἰκείως πανταχοῦ τοῖς ὑποκειμένοις πράγμασι καὶ τῇ λέξει κέχρηται Πλάτων· πρῶτον μὲν γὰρ ἐπειδὴ λεπτὸς καὶ ἰσχνὸς ἦν ὁ τοῦ Λυσίου λόγου χαρακτήρ, εἰκότως αὐτὸς τῷ ἀντικειμένῳ ἠθέλησε χρήσασθαι τῷ σεμνοπρεπεστέρῳ πρὸς κατάπληξιν καὶ χείρωσιν τοῦ νέου· ἔπειτα ἡ ὑποκειμένη θεολογία ἡ περὶ τοῦ ἔρωτος καὶ ἡ φυσιολογία ἡ περὶ τῆς νοητῆς οὐσίας ἀπῄτει τοιούτων λόγων ἀξίωμα· ἐπεὶ γὰρ περὶ ἀφανῶν καὶ ἀγνώστων*

10 Couvr.

---

4 *καὶ* add. Couvreur. 26 *ψιλοῖς*] ‚fort. corruptum: uide tamen Theaet. 165 a' Couvreur.

πραγμάτων τοῖς πολλοῖς διελέγετο, προσφόρως καὶ ὑψηλοῖς ἐχρήσατο λόγοις, ὅπου ὁ πολιτικὸς ἢ καὶ ὁ πολὺς προσελθεῖν οὐκ ἠδύνατο.

locus p. 134, 12—23 diligentissime et copiosissime ab Immischio l. s. p. 224 ss perquisitus est. idem uir doctus eum ad Caecilium reuocauit l. s. p. 241—251; a quo fontem Peripateticum (Dicaearchum) exscriptum esse argumentatus est (l. s. p. 230 ss).

152 a Laertivs diogenes III 38: λόγος δὲ πρῶτον γράψαι
5 αὐτὸν τὸν Φαῖδρον· καὶ γὰρ ἔχειν μειρακιῶδές τι τὸ πρόβλημα. Δικαίαρχος δὲ καὶ τὸν τρόπον τῆς γραφῆς ὅλον ἐπιμέμφεται ὡς φορτικόν.

uerbose hoc fragmentum ab Immischio l. c. p. 231 s et p. 241 ss pertractatum est. idem uir doctus (ibid.) haec Caecilio attribuit. quem etiam u. 4—5 ex fonte Peripatetico (Dicaearcho) hausisse Immisch l. c. p. 230 ss probauit.

152 b idem III 25: καὶ πρῶτος τῶν φιλοσόφων (Πλάτων) ἀντεῖπε πρὸς τὸν λόγον τοῦ Λυσίου τοῦ Κεφάλου, ἐκθέμενος αὐ-
10 τὸν κατὰ λέξιν ἐν τῷ Φαίδρῳ.

hunc locum Caecilio Immisch l. c. p. 245 ss uindicauit, qui Calactinum etiam hic fonte Peripatetico (Dicaearcho) niti confirmauit (l. c. p. 246 ss).

IX

ΣΥΓΚΡΙΣΙΣ ΔΗΜΟΣΘΕΝΟΥΣ ΚΑΙ ΚΙΚΕΡΩΝΟΣ

Σύγκρισις Δημοσθένους καὶ Κικέρωνος Svidas.

---

4 *λόγον* uulgo edunt, *λόγος* libri; uide Immisch l. s. p. 232, 1.
5 *ἔχει* uulgo, *ἔχειν* liber B; uide Immisch l. s. p. 232, 2.

153 (= 52, 4—10 B.) PLVTARCHVS Demosth. 3: *τὸ δὲ τοὺς λόγους (Δημοσθένους καὶ Κικέρωνος) ἀντεξετάζειν καὶ ἀποφαίνεσθαι, πότερος ἡδίων ἢ δεινότερος εἰπεῖν, ἐάσομεν· κἀκεῖ γάρ, ὥς φησιν ὁ Ἴων, ‘δελφῖνος ἐν χέρσῳ βία’, ἣν ὁ περιττὸς ἐν ἅπασι Κεκίλιος ἀγνοήσας ἐνεανιεύσατο Σύγκρισιν τοῦ Δημοσθένους καὶ Κικέρωνος ἐξενεγκεῖν. ἀλλὰ γὰρ ἴσως, εἰ παντὸς ἦν τὸ γνῶθι σεαυτὸν ἔχειν πρόχειρον, οὐκ ἂν ἐδόκει πρόσταγμα θεῖον εἶναι.*

***154** DE SVBLIMITATE XII 4 p. 29, 9 V.: *οὐ κατ' ἄλλα δέ τινα ἢ ταῦτα, ἐμοὶ δοκεῖ, φίλτατε Τερεντιανέ, (λέγω δέ, <εἰ> καὶ ἡμῖν ὡς Ἕλλησιν ἐφεῖταί τι γινώσκειν) καὶ ὁ Κικέρων τοῦ Δημοσθένους ἐν τοῖς μεγέθεσι παραλλάττει. ὁ μὲν γὰρ ἐν ὕψει τὸ πλέον ἀποτόμῳ, ὁ δὲ Κικέρων ἐν χύσει, καὶ ὁ μὲν ἡμέτερος διὰ τὸ μετὰ βίας ἕκαστα, ἔτι δὲ τάχους ῥώμης δεινότητος, οἷον καίειν τε ἅμα καὶ διαρπάζειν σκηπτῷ τινι παρεικάζοιτ' ἂν ἢ κεραυνῷ, ὁ δὲ Κικέρων ὡς ἀμφιλαφής τις ἐμπρησμὸς οἶμαι πάντη νέμεται καὶ ἀνειλεῖται, πολὺ ἔχων καὶ ἐπίμονον ἀεὶ τὸ καῖον καὶ διακληρονομούμενον ἄλλοτ' ἀλλοίως ἐν αὐτῷ καὶ κατὰ διαδοχὰς ἀνατρεφόμενον.* (5) *ἀλλὰ ταῦτα μὲν ὑμεῖς ἂν ἄμεινον ἐπικρίνοιτε.*

cf. Quintil. X 1, 106. hoc loco Caecilium a Pseudolongino fontem adhibitum esse BLASS (*Griech. bereds.* p. 194, 2), et iam ante eum nonnulli Pseudolongini interpretes, porro C. A MORAWSKI l. c. p. 33 s, COBLENTZ l. c. p. 57 ss, BRZOSKA l. c. p. 1180 (1184), MARX l. c. p. 175, qui ibid. adn. 2 plura uerba fecit, suspicati sunt; Burckhardt l. c. p. 24 et Martens l. c. p. 6 contradixerunt.

---

12 *εἰ* add. Manutius.

X

ΣΥΓΚΡΙΣΙΣ ΔΗΜΟΣΘΕΝΟΥΣ ΚΑΙ ΑΙΣΧΙΝΟΥ

Σύγκρισις Δημοσθένους καὶ Αἰσχίνου SVIDAS.

hic libellus plane interiit. cf. BRZOSKA l. c. p. 1184.

XI

ΚΑΤΑ ΦΡΥΓΩΝ ΔΥΟ

Κατὰ Φρυγῶν δύο· ἔστι δὲ κατὰ στοιχεῖον ἀπόδειξις τοῦ εἰρῆσθαι πᾶσαν λέξιν SVIDAS.

huius libri nil ad nos peruenisse uidetur.

XII

ΚΑΛΛΙΡΡΗΜΟΣΥΝΗΣ* ΕΚΛΟΓΗ ΛΕΞΕΩΝ ΚΑΤΑ ΣΤΟΙΧΕΙΟΝ

*Καλλιρρημοσύνης *· ἔστι δὲ ἐκλογὴ λέξεων κατὰ στοιχεῖον* SVIDAS.

***155** Vindicauit Caecilio has glossas quae sequuntur BOYSEN l. c. p. 18—32 et p. 85—89 et p. 51. sed cf. etiam, quae idem uir doctus Hermes XVIII 1883 p. 313, 1 dixit. praeterea uide G. WENTZEL l. s. p. 482 ss.

SVIDAS s. u. ἀγραφίου (cf. lex. Seg. quart. Bekkeri Anecdot. Gr. p. 184, 23 et Gregorius Corinthius Rh. Gr. VII 2 p. 1120, 11 W.):
. . . ἀγραφίου δίκη· τῶν ἐκ καταδίκης ὠφληκότων τῷ δημοσίῳ γράφουσι τὰ ὀνόματα ἐν σανίσιν οἱ κατὰ καιρὸν περὶ τούτων
5 διοικοῦντες, προστιθέντες ἀνὰ πόσον ἐστὶ τὸ ὄφλημα. ὅταν δὲ

ἀποδιδῷ ἕκαστος, ἐξαλείφεται τῆς σανίδος τὸ ἐπίγραμμα. ἐὰν οὖν τις ἀναγραφῇ μὲν ὠφληκέναι, δόξῃ δὲ μὴ ἀποδεδωκέναι καὶ τὸ ὄνομα αὐτοῦ ἐξηλειμμένον ᾖ ἐκ τῆς σανίδος, συγκεχώρηται τῷ βουλομένῳ τῶν ἀστῶν εἰσάγειν κατ' αὐτοῦ δίκην ἀγραφίου.

Svidas (cf. lex. S. quart. p. 184, 27): ἀγράφου μετάλλου δίκη· οἱ τὰ ἀργύρεια μέταλλα ἐργαζόμενοι ὅπου βούλοιντο καινοῦ ἔργου ἄρξασθαι, φανερὸν ἐποιοῦντο τοῖς ἐπ' ἐκείνοις τεταγμένοις ὑπὸ τοῦ δήμου καὶ ἀπεγράφοντο, τοῦ τελεῖν ἕνεκα τῷ δήμῳ εἰκοστὴν τετάρτην τοῦ καινοῦ μετάλλου. εἴ τις οὖν ἐδόκει λάθρᾳ ἐργάζεσθαι μέταλλον, τὸν μὴ ἀπογραψάμενον ἐξῆν τῷ βουλομένῳ γράφεσθαι καὶ ἐλέγχειν.

Svidas (cf. lex. S. quart. p. 183, 11): ἀδέητος· ὁ μηδενὸς δεόμενος καὶ πάντα ἔχων. Ἀντιφῶν ἐν α' Ἀληθείας (fr. 80 Bl.[2]; *Vorsokratiker* p. 553, 35 fr. 10 Diels) 'διὰ τοῦτο οὐδενὸς δεῖται οὔτε προσδέχεται οὐδενός τι, ἀλλ' ἄπειρος καὶ ἀδέητος'.

Lex. seg. qvint. Bekkeri Anecdot. Gr. p. 218, 8: ἀδούλευτος· ὁ ἀεὶ ἐν ἐλευθερίᾳ διάγων.

Svidas (cf. lex. S. quart. p. 183, 9 et lex. S. quint. p. 216, 7 et lex. Seg. sext. Bekkeri Anecdot. Gr. p. 359, 6): αἰσθέσθαι καὶ αἰσθάνεσθαι διαφέρει. τὸ μὲν γὰρ αἰσθέσθαι ἐπὶ τοῦ ἀκριβῶς εἰδέναι τι, τὸ δὲ αἰσθάνεσθαι ἐπὶ τοῦ ὑπονοεῖν τι. καὶ περὶ μὲν τοῦ αἰσθέσθαι Ἀντιφῶν ἐν Προοιμίοις (fr. 68 Bl.[2]) 'ἐγραψάμην ταύτην τὴν γραφὴν ἠδικημένος ὑπὸ τούτου νὴ Δία πολλά, ἔτι δὲ καὶ πλείω ὑμᾶς ᾐσθημένος ἠδικημένους καὶ τοὺς ἄλλους πολίτας'. τὸ δὲ αἰσθάνεσθαι ἐπὶ τοῦ ὑποπτεύειν καὶ οὐκ ἐπὶ τοῦ βεβαίως εἰδέναι. Λυσίας ἐν τῷ Πρὸς Ἀλκιβιάδην φησίν (fr. 12 Tur.; 5 et 16 a Thalh.) 'οἶμαι τοίνυν καὶ ἐκεῖνο ὑμᾶς αἰσθάνεσθαι, ὅτι Ἀρχεβιάδης οὐκ ἄλλο τι ἐζήτει κομίσασθαι, ἀλλὰ τῶν ἐμῶν ἠμφεσβήτει'. ἔταξαν δὲ αὐτὸ καὶ ἐπὶ τοῦ εἰδέναι. Ἰσαῖος (fr. 134 Tur.; 33 Thalh.) 'τί δ' ἐπὶ τοιούτων δεῖ μαρτυριῶν, ⟨ὧν⟩ οἱ δικάζοντες τὰ μὲν αὐτοί εἰσιν εἰδότες, ὅτι ὑγίαινεν ὁ

---

22 *αἰσθάνεσθαι* libri. 28 *Ἀρχεβιάδης* Taylor, *Ἀρχιβιάδης* libri. 30 *τί* Schoemann, *τὰ* libri. *δ' ἐπὶ* Sauppe, *δὲ* libri. *δεῖ* Schoemann, *δὴ* libri. 31 *ὧν* add. Bernhardy. *εἰσιν εἰδότες* Sauppe, *συνειδότες* libri. *ὑγίανεν* libri.

παῖς, ⟨τὰ δὲ⟩ τῶν ἑωρακότων αἰςθανόμενοι μαρτυρούντων, τὰ δὲ ἀκοῇ πυνθανόμενοι'.

Svidas (cf. lex. S. sext. p. 365, 10): ἀκμή· ὀξύτης, αὐτὴ ἡ ῥοπὴ τῆς τοῦ πράγματος ἐπιτάςεως. καὶ ἡ δύναμις καὶ ἡ νεό-
5 της. ἀκμὴ δὲ καιροῦ ἡ εὐτυχία. οὕτως Ἰςοκράτης (II 33) 'κράτιςτον μὲν τῆς ἀκμῆς τῶν καιρῶν τυγχάνειν'. λαμβάνεται δὲ καὶ ἀντὶ τοῦ ἔτι. οὕτως Ὑπερίδης (fr. 116 Bl.[2]). καὶ Σοφοκλῆς (Phil. 12—14)

ἀκμὴν γὰρ οὐ μακρῶν ἡμῖν λόγων,
10 μὴ καὶ μάθῃ μ' ἥκοντα κἀκχέω τὸ πᾶν
cόφιcμα.

Lex. s. quart. p. 184, 6: ἀλάςτωρ· ὁ τὰ μεγάλα ἀδικήματα ποιῶν. καὶ ἀλιτήριος· ὁ πολλὰ ἠδικηκὼς καὶ κολάζεςθαι ἄξιος· ἀλιτρὸς γὰρ ὁ ἁμαρτών.

15 Svidas: ἀλογίου δίκη· ἣν φεύγουςιν οἱ ἄρχοντες λόγον οὐ διδόντες τῶν τῆς ἀρχῆς διοικημάτων.

Svidas (cf. lex. S. quart. p. 183, 7 et lex. S. quint. p. 216, 4): ἅμα· δοτικῇ. Δημοςθένης (IV 36) ἐπὶ τοῦ εὐθέως καὶ παραχρῆμα ἔταξε * καὶ ἐν τῷ Ὑπὲρ τῶν ῥητόρων λόγῳ εἰπὼν
20 (fr. 12 Tur.) 'οὐ γὰρ ὁ θάνατος τοῖς εὖ φρονοῦςιν οἰκτρός· τοῦτο γὰρ ἅμα τῷ γενέςθαι πάντων κατέγνωςται'. Αἰςχίνης δὲ ἐπὶ τοῦ κατὰ τὸν αὐτὸν καιρὸν ἐν τῷ Κατὰ Κτηςιφῶντος (III 52) 'ὡς ἀπέδοτο τριάκοντα μνῶν ἅμα τήν τε εἰς αὐτὸν ὕβριν καὶ τὴν τοῦ δήμου καταχειροτονίαν'. καὶ Δημοςθένης ἐν τῷ Κατὰ
25 Μειδίου (XXI 34). καὶ παρὰ τῷ Ἀντιφῶντι δὲ τὸ ἅμα κεῖται ἐπὶ τὸ αὐτό. φηςὶ γὰρ ἐν Προοιμίοις (fr. 69 Bl.[2]) 'ἀλλ' εἰ τό τε πρᾶγμά μοι κρεῖττον φαίνεται ἅμα τε μαρτυρίας ἀκριβεῖς παρέξομαι'. καὶ παρὰ Δημοςθένει ἐν τῷ Περὶ ςτεφάνου (XVIII 34) 'πάςαις δὲ λοιδορίαις καὶ βλαςφημίαις ἅμα τούτου κεχρημένου'.

---

1 *τὰ δὲ* add. Schoemann. 11 quae post *σόφισμα* sequuntur, omisi, cum ea Caecilio non deberi posse appareat. 19 post *ἔταξε* excidit aliquid, cf Blass l. s. III 1 p. 61, 2. 23 *αὐτὸν* ex Aeschine Sauppe, *αὑτὸν* libri. 26 *τὸ αὐτό*] *τοῦ αὐτοῦ* Kuester. 26. 27 *τό τε* Spengel, *τότε* libri. 27 *μαρτυρίας* Sauppe, *μαρτυρίᾳ* libri. *ἀκριβεῖς* A. Schaefer, *ἀρετῆς* libri. 28 *παρέξομαι* Bernhardy, *πράξομαι* libri.

Lex. s. quint. p. 217, 15 (cf. lex. S. quart. p. 183, 15): ἀμείβεσθαι· κέχρηνται οἱ ῥήτορες τῷ ἀμείβεσθαι καὶ ἐπὶ τοῦ χάριν ἐκτίνειν, καὶ ἐπὶ τοῦ ποιῆσαί τι κακὸν τοὺς ἄρξαντας ἀδικεῖν.

Lex. s. quint. p. 217, 28: ἀμνίδας· τὰ σταμνία Δημοσθένης (LIV 4). 5

Suidas (cf. lex. S. quint. p. 217, 12): ἀμύνασθαι· Θουκυδίδης (I 42, 1) μὲν ἀντὶ τοῦ ἀμείβεσθαι, Σιμωνίδης (fr. 229 Bgk.) δὲ ἀντὶ τοῦ χάριτας ἀποδιδόναι, Σοφοκλῆς (Oed. Col. 873) δὲ ἀντὶ τοῦ ἀπαλεξῆσαι. ἐπὶ τῶν προηδικημένων τάσσουσιν οἱ ῥήτορες τὸ ἀμύνασθαι, ὅτε οἱ κακόν τι παθόντες ἀντιπράσσουσι 10 τοὺς προδιαθέντας.

Lex. s. quart. p. 183, 23: ἀμφιγνοεῖν· τὸ μὴ σαφῶς γνωρίζειν.

Suidas (cf. lex. S. quint. p. 311, 23 et lex. S. quart. p. 184, 9 et Gregor. Corinth. VII 2 p. 1121, 1 W.): ἀμφιορκία· ἐπειδὰν ὅ 15 τε διώκων καὶ ὁ φεύγων ὀμνύωσι, κλοπῆς ἔγκλημά τισιν ἐπιφέροντες. τοῦτο δὲ πολλάκις ὤφθη μάτην γινόμενον. ἔθεντο οὖν Ἀθηναῖοι νόμον κατὰ τῶν ἀπαγόντων εἰς δεσμωτήριόν τινας ἐπὶ δίκῃ κλοπῆς, χιλίας διδόναι δραχμὰς τοὺς ἁλόντας. ἀλλὰ καὶ τοὺς οὐσίαν ἀπογράψαντας τῶν πολιτῶν τινὸς ὡς τῷ δήμῳ 20 προσήκουσαν εἰ συκοφαντοῦντες ἁλοῖεν, καὶ οὗτοι χιλίαις ἐζημιοῦντο.

Suidas: ἀμφισβητεῖν καὶ παρακαταβάλλειν· ὅταν τελευτήσας τις ἄπαις εἶναι δοκῇ, φάσκῃ δέ τις ἑαυτὸν ἐκείνου υἱόν, οὗτος ἀμφισβητεῖν τοῦ κλήρου λέγεται. εἰ δὲ παῖδα μὲν 25 τοῦ θανόντος ἑαυτὸν μὴ εἰσάγει, λέγει δὲ ἄλλως κατὰ γένος αὐτῷ προσήκειν τὸν κλῆρον, παρακαταβάλλειν αὐτὸν οἱ νόμοι κελεύουσι. πλὴν ἀμφότερα ἐπ' ἀντιλογίας τάσσεται.

Lex. s. quint. p. 214, 16: ἀνάγειν εἰς πράτην καὶ ἀνάγειν ὠνήν· δίκης ὄνομα. ὅταν ἀμφισβητῇ τις περὶ οἰκέτου 30

---

4 ,ἀμίδας?' Boysen. 19 τοὺς ἁλόντας] coni. Salmasius τοὺς μὴ ἁλίσκοντας, Bekker τοὺς μὴ ἑλόντας. 20 τινὸς Bekker, τινὰς libri. 26 εἰσάγει Bernhardy, εἰσάγοι A (Parisinus) B (Parisinus) E (Bruxellensis). 27 αὐτῷ Bekker.

ὡς οὐ δεόντως πραθέντος, ὁ τὸν οἰκέτην διακατέχων παραγίνεται ἐπὶ τὸν πεπρακότα καὶ ἀναγκάζει αὐτὸν συνίστασθαι τὴν δίκην πρὸς τοὺς ἀμφισβητοῦντας. καὶ τοῦτο καλεῖται ἀνάγειν εἰς πράτην.

5 Svidas s. u. ἀνάγνωσις (cf. lex. S. quint. p. 215, 27 et lex. S. quart. p. 193, 32): .. ἀναγινώσκειν παρὰ ῥήτορσιν ἐπὶ τοῦ ἀναπείθειν· ἔστι γὰρ ἀναγινώσκειν τὸ γνῶναι διαλεχθέντα.

Lex. s. qvint. p. 214, 9: ἀναγωγὴ οἰκέτου· δίκης ὄνομα. ἀναγωγὴ γάρ ἐστι τὸ τὸν πωλοῦντα οἰκέτην νόσημα ἔχοντα καὶ 10 μὴ προειπόντα τῷ ὠνουμένῳ, ἐφεῖσθαι τῷ ὠνησαμένῳ διακρίνεσθαι πρὸς τὸν πεπρακότα, ἀπογραψάμενον πρὸς τοὺς ἄρχοντας τὴν αἰτίαν, δι' ἣν ἐγκαλεῖ. καὶ τὸ οὕτως ἀπογράφειν ἀνάγειν καλεῖται καὶ ἡ ἀπογραφὴ ἀναγωγή.

Lex. s. qvint. p. 216, 20: ἀνάδικος δίκη· δίκης ὄνομα. 15 ὅταν γνώσεως δικαστῶν γενομένης περί τινος πράγματος αὖθις ὁ ἡττηθεὶς εἰς δικαστήριον ἔρχηται περὶ τῶν αὐτῶν κριθησόμενος, ἢ καὶ ἕτερος ἐγκαλῇ περὶ ὧν πρότερον ἐγένετο κρίσις, τοῦτο δίκη ἀνάδικος καλεῖται.

Svidas: ἀνάκαιον· τὸ δεσμωτήριον, εἰς ὃ κατετίθεντο τοὺς 20 πονηροὺς δούλους καὶ τῶν ἀπελευθέρων τοὺς ἀφισταμένους. Ἰσαῖος ἐν τῷ Πρὸς Ἕρμωνα περὶ ἐγγύης (fr. 11 Thalh.) 'Ἑρμοκράτην δὲ εἰς τὸ ἀνάκαιον ἐνέβαλε φάσκων ἀπελεύθερον εἶναι, καὶ οὐ πρότερον ἀφῆκε, πρὶν τριάκοντα δραχμὰς ἐπράξατο'.

Svidas s. u. ἀνάπηρον ψυχήν (cf. lex. S. quart. p. 183, 13 25 et lex. S. quint. p. 216, 15): .. ἀνάπηρος· ὁ χωλός, ὁ καθ' ὑπερβολὴν πεπηρωμένος μέλει τινὶ τοῦ σώματος. Λυσίας ἐν τῷ Περὶ τοῦ διδομένου τοῖς ἀδυνάτοις ὀβολοῦ (XXIV 13) 'καὶ τί κωλύει ὑμᾶς μὲν ὠφελεῖσθαι τῷ ὀβολῷ ὡς ὑγιεῖς ὄντας, τούτῳ δὲ ψηφίσασθαι ἐάσαντας ὡς ἀναπήρῳ;'

30 Svidas (cf. lex. S. quart. p. 183, 22 et Pollux V 130): ἀναρᾶσθαι· ἀντὶ τοῦ διαλύειν τὴν γενομένην ἀράν. οὕτω Καλλισθένης (fr. 49 Script. rer. Alex. Magni p. 32[b] Mueller).

---

22 *ἀνάκαιον*] *ἀναγκαῖον* ex Harpocratione Schoemann et editores Isaei.

Svidas (cf. lex. S. quint. p. 216, 9): ἀνάργυρος· ὁ ἀργύριον μὴ κεκτημένος, εἰ καὶ εἴη αὐτῷ ἱκανὴ οὐσία ἐξ ἑτέρων κτημάτων. Λυσίας ἐν τῷ Περὶ τῆς Ἐπιγένους διαθήκης (fr. 35 Thalh.) 'ἐπειδὴ τοίνυν Ἐπιγένης ἀσθενὴς τριηραρχεῖν ἠναγκάζετο, ἀνάργυρος ὢν καὶ τῆς γῆς τῶν πολεμίων κρατούντων'. 5

Lex. s. qvart. p. 183, 19: ἀνάστατος· ὁ καταλιπὼν τὴν οὐσίαν, καὶ ἐπὶ τῆς ἀλλοδαπῆς ζῆν αἱρούμενος.

Svidas (cf. lex. S. quart. p. 184, 32): ἀνασύνταξις· τὰ διαγεγραμμένα τιμήματα ταῖς συμμορίαις, ὅταν δόξῃ τῷ δήμῳ χρῄζειν προσθήκης ἢ ἀφαιρέσεως καὶ ἕλωνται τοὺς τοῦτο πράξοντας, τοῦτο ἀνασύνταξιν καλοῦσιν. 10

Lex. s. qvint. p. 218, 13: ἀνατιθέναι· καὶ ἐπὶ τῶν ἀνατιθεμένων τοῖς θεοῖς ἀναθημάτων ἐχρήσαντο οἱ ῥήτορες τῇ λέξει, καὶ ἐπὶ τοῦ προσάπτειν τισὶ βλασφημίας ἢ διαβολάς.

Svidas (cf. lex. S. quint. p. 217, 21): ἀναυμαχίου· ὡς τοῦ 15 μὴ στρατεύεσθαι καὶ τοῦ λείπειν τὴν τάξιν καὶ τοῦ τὰ ὅπλα ἀποβαλεῖν ζημίαι ἦσαν ὡρισμέναι ἐκ τῶν νόμων, οὕτω καὶ τοῦ ⟨μὴ⟩ ναυμαχῆσαι. τοῦτο τὸ ὄφλημα ἀναυμαχίου ἐκαλεῖτο, ὡς Ἀνδοκίδης (I 74) 'οὕτω δὲ δεῖ καὶ αὐτοὺς καὶ τοὺς ἐξ αὐτῶν ἀτίμους εἶναι * *'. 20

Svidas (cf. lex. S. quint. p. 213, 30): ἀνδροληψία καὶ ἀνδρολήψιον· ἐὰν ἔξω τῆς Ἀττικῆς ἀνὴρ Ἀθηναῖος ⟨βιαίως⟩ ἐτελεύτησε, καὶ μὴ ἐξεδίδοσαν οἱ ἐν ἐκείνῃ τῇ πόλει, ἐν ᾗ τὸ ἔργον ἐπράχθη, τὸν δοκοῦντα ἐν τῇ αἰτίᾳ εἶναι, ἐφεῖτο ἐκ τοῦ νόμου τρεῖς τῶν ἐκείνου πολιτῶν ἄγειν ἐς Ἀθήνας δίκην ὑφέξοντας τοῦ 25 φόνου· καὶ τοῦτο ἀνδρολήψιον ἐκαλεῖτο. Δημοσθένης ἐν τῷ Κατὰ Ἀριστοκράτους (cf. XXIII 83) 'πρὸς δὲ τούτοις ὁ νόμος, ἐὰν μήτε δίκας ὑπόσχωσι, παρ' οἷς ἂν τὸ πάθος γένηται, μήτε τοὺς δεδρακότας ἐκδιδῶσι, κελεύει κατὰ τούτων εἶναι μέχρι τριῶν τὸ ἀνδρολήψιον'. 30

---

4 *ἀσθενήσας* Bekker. 16 *λιπεῖν* Bekker. 17 *μὴ* add. Bernhardy. 19 *τούτους ἔδει* codices Andocidis. 20 locus Andocidis mutilus est. 22 *βιαίως* add. Wuensch.

Svidas (cf. lex. S. quart. p. 183, 26 et lex. S. sext. p. 398, 2): ἀνεπίδικα· τῶν μὴ θεμένων διαθήκας ἐπιδικάζεσθαι τοῖς κλήροις ὁ νόμος συγχωρεῖ τοὺς ἐγγυτάτω γένους. ὅσα ὡς υἱός τις ἢ υἱιδοῦς τοῦ τετελευτηκότος ἀξιοῖ κατέχειν, ταῦτα ἀνεπίδικα 5 λέγεται. cf. u. ἐπίδικα.

Svidas: ἄνετον· Ὑπερίδης (fr. 72 Bl.[3])· τὸ ἀνειμένον θεῷ ἱερόν. λέγεται δὲ καὶ ἄνετος βίος, ὁ ἀνειμένος καὶ μαλακός.

Lex. s. qvart. p. 184, 22: ἀνομολόγητα· ὅταν ἀνανεώσῃ τις τὴν ὁμολογίαν.

10 Svidas (cf. lex. S. sext. p. 407, 32): ἀντέχει· ἀντὶ τοῦ ἐξαρκεῖ. Δείναρχος (fr. LXXXIX 8 Tur.) δὲ ἀντὶ τοῦ σῴζεται. Δημοσθένης (cf. I 25. II 10) καὶ Ὑπερίδης (fr. 229 Bl.[3]) ἀντὶ τοῦ ἀντιλαμβάνεται.

Lex. s. qvart. p. 184, 16: ἀντίδοσις· ὅσοι τεταγμένοι εἰσὶ 15 τοῦ τριηραρχεῖν διδόντες.

Svidas: ἀντικαταλλαττόμενος· οὐ μόνον ὅταν σπένδηταί τις ἢ εἰς φιλίαν ἔρχηται πρὸς ὃν γέγονεν αὐτῷ διαφορά, τῷ καταλλαττόμενος ἐχρήσαντο οἱ ῥήτορες, ἀλλὰ καὶ ἐπὶ τοῦ ἀμείβοντος χρυσίον ἐν τῷ δήμῳ πολλάκις. Δημοσθένης (XIX 114) 20 'ἀλλὰ καὶ ἐδείκνυεν ὑμᾶς τυροπωλῶν, οἰκοδομῶν, βαδιεῖσθαι φάσκων, κἂν μὴ χειροτονῆτε ὑμεῖς, ξυληγῶν, τὸ χρυσίον καταλλαττόμενος ἐπὶ ταῖς τραπέζαις'.

Lex. s. qvart. p. 184, 29 (cf. Gregor. Corinth. VII 2 p. 1120, 27 W. et Suidas s. u. λῆξιν δίκης): ἀντιλαχεῖν ἀντικαλέσαι ἐστίν.

25 Svidas (cf. lex. S. quint. p. 215, 22 et lex. S. sext. p. 412, 23): ἄξιον· οἱ ῥήτορες ἐπὶ τοῦ εὐλόγου καὶ δικαίου ἐκλαμβάνουσι. Δημοσθένης (fr. 19 Tur.) 'διὰ γὰρ τοῦτο μάλιστα ἄξιόν ἐστι σιωπᾶν, ὅτ' οὔτ' ἐστὶν ὁ καταπλήσσων οὐθ' ὁ κολάσων ὑμᾶς'. τάσσουσι δὲ τὸ ἄξιον καὶ ἐπὶ τῶν ὠνίων, ὅταν εὔωνόν τι πι-30 πράσκηται. Λυσίας ἐν τῷ Κατὰ τῶν σιτοπωλῶν (XXII 11) 'ἐροῦσιν ὡς ἐπ' εὐνοίᾳ τῆς πόλεως ὠνοῦνται τὸν σῖτον, ἵν' ὡς ἀξιώ-

---

3 ,in ὅσα particulam desideramus' Bernhardy. 20 *ὑμῖν πυροπωλῶν* Dem. 28 *ὑμᾶς* unus codex (A), *ἡμᾶς* ceteri libri et Sauppe.

τατον ἡμῖν πωλῶϲιν'. καὶ πάλιν (XXII 22) 'ἐὰν οὖν αὐτῶν καταψηφίϲηϲθε, τά τε δίκαια ποιήϲετε καὶ ἀξιώτερον τὸν ϲῖτον ὠνήϲεϲθε, εἰ δὲ μή, τιμιώτερον'.

Svidas s. u. ἀπείπατο (cf. lex. S. quint. p. 216, 27 et lex. S. sext. p. 420, 14): . . . ἀπειπεῖν· ἀντὶ τοῦ κελεῦϲαι μὴ πράττειν. Λυϲίαϲ ἐν τῷ Κατὰ Κτηϲιφῶντοϲ (fr. 152 Tur.; 57 Thalh.) 'καὶ τοὺϲ μὲν τῶν ἄλλων Ἀθηναίων παῖδαϲ, ὧν οἱ πατέρεϲ βοηθήϲαντεϲ ὑμῖν ἔτι ζῶϲι, ἀπειπεῖν ἐν τοῖϲ νόμοιϲ μήτε ἄδικον μήτε δίκαιον λέγειν'. καὶ ἀπειπεῖν ἀντὶ τοῦ ἀποκαμεῖν καὶ ἀδυνατῆϲαι. ἢ ἀπειπεῖν· ἀπαρνήϲαϲθαι, ἀποποιήϲαϲθαι φιλίαν. 10

Svidas s. u. ἀπεψηφίϲατο (cf. lex. S. quint. p. 216, 17): . . . ἀπεψηφιϲμένοι· ἐν τοῖϲ δήμοιϲ ἀποψηφίϲειϲ ἐγίνοντο τῶν γεγραμμένων μὲν εἰϲ τὸ ληξιαρχικὸν γραμματεῖον, οὐκ ὄντων δὲ ἀϲτῶν, ἀλλὰ παρεγγεγραμμένων εἰϲ τὴν πολιτείαν· καὶ οὗτοι ἐλέγοντο ἀπεψηφιϲμένοι, ἐπειδὴ ψήφου αὐτοῖϲ ἐπαχθείϲηϲ 15 οὐκέτι μετεῖχον τῆϲ πολιτείαϲ. Ὑπερίδηϲ ἐν τῷ Πρὸϲ Ἀριϲτογείτονα (fr. 29 Bl.[3]) 'ὅπωϲ πρῶτον μὲν μυριάδαϲ πλείουϲ ἢ δεκαπέντε τοὺϲ ἐκ τῶν ἔργων τῶν ἀργυρείων καὶ τοὺϲ κατὰ τὴν ἄλλην χώραν, ἔπειτα τοὺϲ ὀφείλονταϲ τῷ δημοϲίῳ καὶ τοὺϲ ἀτίμουϲ καὶ τοὺϲ ἀπεψηφιϲμένουϲ καὶ τοὺϲ μετοίκουϲ'. 20

Lex. s. qvart. p. 183, 24: ἀπογινώϲκειν· ἀφεῖναι τῶν ἐγκλημάτων.

Svidas: ἀπογράφειν καὶ ἀπογραφή· οἱ τῷ δήμῳ χρήματα ὀφείλοντεϲ ἐκ καταδίκηϲ, καὶ μὴ ἀποδιδόντεϲ μέχρι τῆϲ ἐνάτηϲ πρυτανείαϲ, ἐϲ τὸ δεϲμωτήριον ἀπεκλείοντο, μήτ' ἐγ- 25 γυητὰϲ καταϲτῆϲαι δυνάμενοι τοῦ ὀφλήματοϲ.

Lex. s. qvart. p. 184, 30 (cf. lex. S. sext. p. 425, 31): ἀπογράφειν οὐϲίαν· τὸ λέγειν δημοϲίαν τὴν οὐϲίαν τινόϲ.

Lex. s. qvint. p. 218, 3: ἀποδεδύϲθαι ἢ ἐκδεδύϲθαι· τὸ μὲν ἀποδεδύϲθαι τάϲϲουϲιν οἱ ῥήτορεϲ, ὅταν δηλῶϲαι βουλη- 30

---

12 *ἐν* Sauppe, *ἐπὶ* libri. 18 *τοὺς* ⟨*δούλους τοὺς*⟩ *ἐκ* Blass. 20 *μετοίκους* C. E. A. Schmidt, *ἀποίκους* libri. 23—26 ‚glossa uel manca uel negligenter collecta' Bernhardy. 25. 26 *μήτ'* .. *ὀφλήματος* post *πρυτανείας* transponi Bernhardy uult.

θῶϲιν ὅτι τὸ ἱμάτιον ἀπολώλεκέ τιϲ λωποδύτῃ περιτυχὼν ἢ κακούργῳ ἀνδρί· τὸ δὲ ἐκδεδύϲθαι ἐπὶ τῶν τὸν χιτῶνα ἀποδεδυκότων τάϲϲουϲιν.

Lex. s. quart. p. 183, 21: ἀποδικάϲαι· ἐπὶ τοῦ ἀποψη-5 φίϲαϲθαι.

Suidas (cf. lex. S. sext. p. 430, 6): ἀπολαύειν· ἀπολαύειν οὐκ ἐπὶ τῶν ἡδέων μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν ἐναντίων τάττουϲιν, ὡϲ Ἰϲοκράτηϲ (VIII 81) 'δέδοικα, μή τι κακὸν ἀπολαύϲαιμι'.

Suidas (cf. lex. S. quint. p. 217, 3): ἀπολαχεῖν· τὸ δια-10 νείμαϲθαι τὰ πατρῷα καὶ ἄλλα κοινὰ δόντα πρόϲ τιναϲ καὶ ἀπολαβεῖν * *. διαλαχεῖν δὲ τὸ διανείμαϲθαι οἱ ῥήτορεϲ εἰρήκαϲι. Ἀντιφῶν (fr. 138 Bl.[2]; 116 Diels) 'ὁπότ' ἄνθρωποι βούλοιντο χρήματα διαλαγχάνειν'.

Suidas (cf. lex. S. quint. p. 215, 31 et lex. S. sext. p 431, 21): 15 ἀπόμιϲθοϲ· ἄμιϲθοϲ, ὁ μιϲθοῦ ἔργον τι διαπραξάμενοϲ καὶ ἄμιϲθοϲ ἀφειμένοϲ. κεῖται ἡ λέξιϲ παρὰ Λυϲίᾳ ἐν τῷ Πρὸϲ Καλλικλέα (fr. 138 Tur.; LXIX Thalh.).

Lex. s. quart. p. 183, 1: ἀποπομπεῖα· ἀργυρᾶ καὶ χρυϲᾶ ποτήρια ἐπέμπετο εἰϲ τὴν ἑορτήν. ** ἰϲτέον δὲ ὅτι τὴν τρια-20 κοϲτὴν ἕνην καὶ νέαν καλοῦϲιν.

Lex. s. quint. p. 216, 30 (cf. Suidas s. u. ἀπορρηθέν): ἀπόρρηϲιϲ· τὸ κελεύειν τι μὴ γίνεϲθαι, καὶ τὸ ἀποκηρύϲϲειν.

Suidas s. u. ἀποϲταϲίου δίκη (cf. lex. S. quart. p. 184, 25 et Gregor. Corinth. VII 2 p. 1120, 22 W. et lex. S. sext. p. 434, 31): 25 . . . ἀποϲταϲίου δίκη· ὅταν δοῦλοϲ ὑπὲρ ἐλευθερίαϲ ἐνίϲταται, φάϲκων μὴ προϲήκειν τοῖϲ δοῦλον αὐτὸν ἀντιποιουμένοιϲ.

Suidas s. u. ἀποϲτολαί (cf. lex. S. quint. p. 216, 32): . . . ἀποϲτελλόμενοι· οὐ μόνον οἱ πεμπόμενοι ἐκ προϲταγμάτων τῶν ἀπολυόντων, ἀλλὰ καὶ οἱ παραπεμπόμενοι ἀποδημεῖν μέλ-30 λοντεϲ ἀποϲτελλόμενοι ἐλέχθηϲαν.

---

11 defectum indic. Gaisford; lex. S. quint. haec exhibet: *ἀπολαχεῖν· . . ἀπολαβεῖν τὸ προσῆκον μέρος ἕκαστον τῶν διανειμαμένων, παρὰ τοῖς ῥήτορσιν ἀπολαχεῖν εἴρηται.* *διανείμασθαι* Bernhardy, *διανεμεῖσθαι* libri. 12 *ὁπότ'* Bernhardy, *ὁπόταν* libri. 19 lacunam indic. Radermacher.

Lex. s. qvart. p. 183, 25: ἀποστησάμενος· ἀντὶ τοῦ παραδοὺς τῷ σταθμῷ.

Svidas s. u. ἀποστολαί (cf. lex. S. quint. p. 217, 26): .. ἀπόστολος· ὁ ἀποστελλόμενος μετὰ στρατιᾶς εἰς πόλεμον ⟨καὶ⟩ παρασκευῆς. 5

Lex. s. qvart. p. 184, 18: ἀποτιμᾶσθαι· ὅταν παραχωρῶσι τὴν οἰκίαν ἢ τὸ χωρίον διὰ τὸ μὴ δύνασθαι δοῦναι τὸ χρέος.

Gregor. corinth. VII 2 p. 1121, 7 W.: τὴν μέντοι ἀπόφασιν οὐχ ὡς ἡμεῖς νῦν ὁ Ἀττικὸς νόμος ἐξελαμβάνετο, ἀλλ' ἐπεὶ ἡ τῆς τριηραρχίας ἀρχὴ ἐπικίνδυνός τις δοκοῦσα τὸν τριηραρχοῦντα 10 κατήπειγεν ἀντιμετρῆσαι τῷ κινδύνῳ τὰ ἑαυτοῦ, ἡ καταγραφὴ τούτων καὶ ὁ ἐπὶ τούτων ὅρκος ἀπόφασις ἦν.

Svidas (cf. lex. S. sext. p. 439, 32): ἀποψηφισθέντα· εἴ τις ξένος ἔδοξεν εἶναι καὶ οὐ πολίτης, τοῦτον ἐν ταῖς διαψηφίσεσι τῶν δήμων ἀπεψηφίζοντο οἱ δημόται, καὶ ἐλέγετο ἀπεψηφισμένος. εἶτα εἰσήγετο εἰς τὸ δικαστήριον καὶ ἐκρίνετο ξενίας, καὶ 15 εἰ μὲν ἑάλω, ἐπιπράσκετο ὡς ξένος, εἰ δὲ ἐκράτει, ἀνελαμβάνετο εἰς τὴν πολιτείαν. οὕτως Δημοσθένης (XVIII 132) 'τίς γὰρ ὑμῶν οὐκ οἶδεν ἀποψηφισθέντα Ἀντιφῶντα;' cf. infra p. 154, 14 ss.

Svidas s. u. ἀποστασίου δίκη (cf. lex. S. sext. p. 435, 1): .... 20 ἀπροστασίου· τῶν μετοίκων ἕκαστος προστάτην ἔχουσι κατὰ νόμον ἕνα τῶν ἀστῶν, καὶ δι' αὐτοῦ τό τε μετοίκιον τίθεται κατὰ ἔτος καὶ τὰ ἄλλα διοικεῖται. ὅταν οὖν τις δοκῶν εἶναι μέτοικος προστάτην μὴ ἔχῃ ἢ μὴ δῷ τὸ μετοίκιον ἢ ἀστὸς εἶναι φάσκῃ παρεγγεγραμμένος εἰς τὴν πολιτείαν, ὁ βουλόμενος δίκην εἰσάγει 25 πρὸς αὐτόν, ἥτις λέγεται ἀπροστασίου.

Lex. s. qvart. p. 183, 4: Ἄρδηττος· ὅρος ἐστίν, ἐν ᾧ τοὺς ὅρκους ἐποιοῦντο.

Lex. s. qvint. p. 215, 29: ἀρεστήρ· πόπανον τὸ ἐν ταῖς θυσίαις ἐπιτιθέμενον κατὰ τοῦ πυρὸς ἀρεστὴρ καλεῖται. 30

---

4 καὶ add. Bekker. 21 ἔχει Bekker.

Lex. s. qvart. p. 184, 3: ἀρουραῖος Οἰνόμαος ὁ Αἰσχίνης ἐστίν, ὡς ὑποκριτής. καὶ τραγικὸς Θεοκρίνης· συκοφάντης γὰρ οὗτος ἦν (cf. Dem. XVIII 242. 313).

Lex. s. qvart. p. 184, 20: ἀρχαὶ μετατίθενται πρὸς τὰς 5 μεταβολὰς τῆς τύχης καὶ τῶν καιρῶν.

Svidas (cf. lex. S. quint. p. 215, 33 et lex. S. sext. p. 448, 31 et Pollux III 85): ἀρχαῖον· ἐχρήσαντο οἱ ῥήτορες τῷ ἀρχαίῳ ἐπὶ τοῦ δανειζομένου [τὸ] ἀργυρίου, ὅπερ ἔνιοι κατά τινα συνήθειαν κεφάλαιον ὀνομάζουσιν. Δημοσθένης ἐν τῷ Κατὰ Νικο-10 στράτου (LIII 20) 'δανείσας ἀργύριον Ἄρχιππον, οὐχ οἷός τε ἦν αὐτὸ ἀπολαβεῖν, οὔτε τόκον οὔτε τὸ ἀρχαῖον'. παρείληπται δὲ καὶ ἐπὶ τοῦ παλαιοῦ. Αἰσχίνης ἐν τῷ Κατὰ Τιμάρχου (I 183) 'ὁ δὲ Σόλων ὁ τῶν νομοθετῶν μάλιστα εὐδοκιμῶν γέγραφεν ἀρχαίως'. καὶ πάλιν (I 25) 'οὕτως ἦσαν σώφρονες οἱ ἀρχαῖοι 15 ἐκεῖνοι ῥήτορες, ὁ Περικλῆς, ὁ Θεμιστοκλῆς καὶ ὁ Ἀριστείδης'.

Svidas (cf. lex. S. sext. p. 449, 17 et lex. S. quart. p. 184, 11) [= Aristot. histor. fr. 413 Rose]: ἄρχων· ἄρχοντες οἱ ἐννέα τίνες; θεσμοθέται ἕξ, ἄρχων, βασιλεύς, πολέμαρχος. καὶ πρὸ μὲν τῶν Σόλωνος νόμων οὐκ ἐξῆν αὐτοῖς ἅμα δικάζειν, ἀλλ' ὁ μὲν 20 βασιλεὺς καθῆστο παρὰ τῷ καλουμένῳ βουκολείῳ (τὸ δὲ ἦν πλησίον τοῦ πρυτανείου), ὁ δὲ πολέμαρχος ἐν Λυκείῳ καὶ ὁ ἄρχων παρὰ τοὺς ἐπωνύμους, οἱ ⟨δὲ⟩ θεσμοθέται παρὰ τὸ θεσμοθέσιον. κύριοί τε ἦσαν, ὥστε τὰς δίκας αὐτοτελεῖς ποιεῖσθαι. ὕστερον δὲ Σόλωνος οὐδὲν ἕτερον αὐτοῖς τελεῖται ἢ μόνον ἀνακρίνουσι 25 τοὺς ἀντιδίκους.

Lex. s. qvint. p. 217, 9: ἀσέλγεια· ἡ περὶ τὰ ἀφροδίσια καθ' ὑπερβολὴν σπουδή. οἱ δὲ ῥήτορες ἐπὶ ὕβρεως καὶ αἰκίας ἐχρήσαντο.

1—2 cf. p. 188, 9—11 et 26—28. 8 s ad uerba *κατά τινα συνήθειαν . . ὀνομάζουσιν* cf. Diels l. s. p. XXVIII.

---

8 *δανειζομένου ἀργυρίου* ex lex. S. quint. et lex. S. sext. Bernhardy, *δανειζομένου τὸ ἀργύριον* libri. 10. 11 locus Demosthenicus ‚corruptissimus est' (Kuester): ualde enim ipsius Demosthenis uerba immutata sunt. 18 *τίνες;* Bernhardy, *τινές* libri. 22 *δὲ* add. Bekker, postquam iam Bernhardy particulam aliquam desiderauit. 24 *ὑποκρίνουσι* libri.

Lex. s. quint. p. 217, 29: ἀσκεῖν· οἱ ῥήτορες χρῶνται μὲν καὶ ἐπὶ τῶν ἄλλο τι ἔργον σκοπούντων, τιθέασι δὲ καὶ ἐπὶ ἀνδρὶ ἀγαθῷ λόγων ἄσκησιν ποιουμένῳ. ὅταν δ' αὐτὸ καθ' αὐτὸ τάξωσι τὸ ἀσκεῖν, εἰδέναι χρὴ τότε, ὅτι τῇ λέξει ἐχρή|σαντο ἐπὶ τῶν 218 ἀγωνιζομένων τοὺς στεφανίτας, τουτέστιν ἐπὶ τῶν ἀθλητῶν. 5

Lex. s. quint. p. 214, 3: ἀσκοφορεῖν· τὸ ἐν ταῖς Διονυσιακαῖς πομπαῖς τοὺς ἀστούς, ἐσθῆτα ἔχοντας ἣν βούλονται, ἀσκοὺς κατὰ τῶν ὤμων φέρειν. καὶ οἱ τοῦτο ποιοῦντες ἀσκοφόροι καλοῦνται. ὥσπερ νόμος τοὺς μετοίκους χιτῶνας ἐνδεδύσθαι χρῶμα ἔχοντας φοινικοῦν καὶ τὰς σκάφας φέρειν· ὅθεν 10 καὶ σκαφηφόροι καλοῦνται.

Svidas s. u. ἀσπαλία (cf. lex. S. quart. p. 183, 14 et lex. S. quint. p. 217, 7): . . ἀσπαλιεύεσθαι παρὰ ῥήτορσι τὸ ἁλιεῦσαι παρ' ἡμῖν.

Svidas s. u. ἀτάκτημα (cf. lex. S. quint. p. 216, 12): . . 15 ἄτακτοι· ἐν τῇ τῶν πλειόνων συνηθείᾳ οἱ περίεργοι καὶ παρὰ τὸ προσῆκόν τι ποιοῦντες ἄτακτοι προσαγορεύονται· οἱ ῥήτορες δὲ καὶ τοὺς ἐν πολέμῳ συμβολῆς γενομένης μὴ κατὰ τάξιν τὴν συμβολὴν ποιήσαντας, ἀλλ' ὡς ἔτυχεν, εἰκῇ καὶ φύρδην.

Svidas (cf. lex. S. sext. p. 460, 32): ἄττα . . . ἐν δὲ τῷ Παρα- 20 πρεσβείας Δημοσθένης ἐπὶ τοῦ ὅσα ἔλαβε (XIX 304) τὴν λέξιν. τῶν δὲ κωμικῶν τις τὸ ἄττα ἐπὶ ἀριθμοῦ ἔταξεν, ἕτερος δὲ ἐπὶ χρόνου· ἄττα τινὰ ἢ ἅτινα ἢ παραπλήσια ὀλίγα. Ἀντιφῶν τῷ ἄττα κέχρηται ἀντὶ τοῦ ἅτινα ἐν τῇ ἀπολογίᾳ τοῦ Μύρρου (fr. 34 Bl.[2]) 'οὐ γὰρ ἐγὼ ἐπεπόνθειν ταῦτα, ἅττα νῦν πέπονθα 25 ὑπὸ τούτου'. καὶ αὖθις (fr. 35 Bl.[2]) 'οἱ γὰρ ἄνθρωποι ἅττα ἂν ὁρῶσι τῇ ὄψει πιστότερα ἡγοῦνται ἢ οἷς εἰς ἀφανὲς ἥκει ὁ ἔλεγχος τῆς ἀληθείας'.

Lex. s. quint. p. 217, 18 (cf. lex. S. quart. p. 183, 17):

16 s ad uerba *ἐν τῇ τῶν πλειόνων συνηθείᾳ . . προσαγορεύονται* cf. Diels l. s. p. XXVIII.

---

18. 19 *τοὺς . . κατὰ . . ποιήσαντας* Bekker, *τῆς . . παρὰ . . ποιήσαντες* libri. alio modo Bernhardy locum sanabat. 22 *ἄττα* Bernhardy, *ἅττα* libri.

ἀτυχεῖν· οὐκ ἐπὶ μόνου τοῦ χρῆσθαι δυστυχίᾳ ἔταξαν οἱ ῥήτορες τὸ ἀτυχεῖν, ἀλλὰ καὶ ἐπὶ τοῦ ἀποτυχεῖν.

Svidas (cf. lex. S. sext. p. 463, 14 et Antiatticista, quem Orum Milesium uocant, Bekk. Anecdot. p. 83, 7 et Pollux IV
5 122): αὐλαία· τὸ τῆς σκηνῆς παραπέτασμα. κέχρηται δὲ αὐτῷ Ὑπερίδης ἐν τῷ Κατὰ Πατροκλέους (fr. 139 Bl.[3]).

Svidas: αὐτοδίκη· ὅταν αὐτὸς δι' ἑαυτοῦ τις δικάζηται καὶ αὐτομαχῇ.

Svidas s. u. αὐτομαχεῖν (cf. lex. S. quart. p. 184, 13 et
10 lex. S. sext. p. 467, 1): .. αὐτομαχῆσαι· ὅταν ἀντιποιῆταί τις οἰκίας ἢ χωρίου, καὶ εἴη ὁ πεπρακὼς μὲν ἀξιόχρεως, ὥστε δοκεῖν ἀποτῖσαι τὴν ζημίαν καὶ συνίστασθαι τὴν δίκην πρὸς τὸν ἀντιποιούμενον, βούλοιτο δὲ ὁ διακατέχων τὴν οἰκίαν ἢ τὸ χωρίον ἴδιον αὐτῷ γενέσθαι ἀγῶνα πρὸς τὸν ἀμφισβητοῦντα, τοῦτο
15 αὐτομαχῆσαι καλεῖται.

Lex. s. qvint. p. 218, 9: ἀχαριστεῖν· τέτακται μὲν ὡς ἐπὶ τὸ πλεῖστον πρὸς τοὺς εὖ παθόντας, ὅταν μὴ βούλωνται χάριν ἐκτίνειν τοῖς εὖ πεποιηκόσιν. ἔσθ' ὅτε δὲ καὶ ἐπὶ τῶν χαρίζεσθαι μὴ θελόντων χρῶνται τῷ ἀχαριστεῖν.

20 Svidas s. u. ἀψαμένη (cf. lex. S. quint. p. 216, 29): .. ἅψασθαι παρὰ πᾶσιν ἐπὶ τοῦ προσάψασθαι καὶ θιγεῖν τάσσεται.

Svidas (cf. lex. S. quart. p. 185, 4): βακτηρία καὶ σύμβολον· οἱ λαχόντες δικάζειν ἐλάμβανον παρὰ τῶν δημοσίων ὑπηρετῶν σύμβολον καὶ βακτηρίαν, καὶ οὕτως ἐδίκαζον. τὴν
25 χρόαν ὁμοίαν εἶχε τῇ βακτηρίᾳ τὸ δικαστήριον. τὸ μέντοι σύμβολον μετὰ τὴν κρίσιν ἀποδιδόντες ἐκομίζοντο τριώβολον· ὅπερ καὶ δικαστικὸν γέγονεν.

Lex. s. qvint. p. 226, 17 (cf. Suidas s. u. βασανίζειν): βάσανος καὶ βασανίζειν· χρῶνται μὲν τῇ βασάνῳ καὶ τῷ βασα-
30 νίζειν οἱ ῥήτορες καὶ ἐπὶ τοῦ μαστιγοῦν καὶ στρεβλοῦν τοὺς καταδικασθέντας καὶ κολαζομένους, τάσσουσι δὲ αὐτὰ καὶ ἐπὶ τοῦ δοκιμάζειν καὶ ἀκριβῶς ἀνερωτᾶν.

---

7 *αὐτοδίκη* libri, *αὐτόδικος* Bernhardy. 21 *θιγεῖν* Bernhardy, *θίγειν* libri.

Lex. s. qvart. p. 185, 2: Βάταλος· δειλὸς καὶ ἐκλελυμένος ἄνθρωπος κατὰ τὴν διάνοιαν, καὶ ὅλον τὸ σῶμα μαλακὸς καὶ αἰσχρός (cf. Dem. XVIII 180).

Lex. s. qvart. p. 185, 7: βωμολόχοι· πάντες οἱ ἀνελευθέρως κολακεύοντες, καὶ οἱ ἐν τοῖς βωμοῖς προσαιτοῦντες ἐν ταῖς 5 θυσίαις.

Svidas s. u. γαμηλία (cf. lex. S. quint. p. 233, 31): . . . γαμηλίαν εἰσενεγκεῖν· ὅταν τις ἠγάγετο γυναῖκα, πρὶν γενέσθαι παῖδα, οὗτος μαρτυράμενος περὶ τοῦ γάμου κατὰ τοὺς νόμους γενομένου ἀπεδίδου τι τοῖς φράτορσιν εἰς λόγον εὐωχίας. καὶ 10 τοῦτό ἐστι γαμηλίαν εἰσενεγκεῖν. μέμνηται τοῦ λόγου Δημοσθένης ἐν τῷ Πρὸς Εὐβουλίδην λόγῳ (LVII 69) 'καὶ γὰρ ὅτι ὁ πατήρ μου κατὰ τοὺς νόμους ἔγημε καὶ γαμηλίαν τοῖς φράτορσιν εἰσενήνοχε, μεμαρτύρηται'.

Lex. s. qvart. p. 185, 18: γεννῆται φυλαὶ ἦσαν, ὥσπερ 15 αἱ τριττύες.

Lex. s. qvint. p. 233, 28: γνώμων· σύνταξίς τις γραμμάτων, καθ' ἣν τὰ τέλη πράττεσθαι χρὴ τοὺς ἐκ τῆς ἀλλοδαπῆς εἰσκομίζοντας, ὧν ἂν ἐκφέρωνται.

Lex. s. qvint. p. 234, 1: γόργυρον· δεσμωτήριον. 20

Svidas (cf. lex. S. quart. p. 185, 14) [= Aristot. histor. fr. 439 Rose]: γραμματεύς· οὗτος πράξεως μὲν οὐδεμιᾶς ἦν κύριος, ὑπανεγίνωσκε δὲ τῇ βουλῇ καὶ τῷ δήμῳ τὰ πραττόμενα. ὁ δ' ἀντιγραφεὺς καὶ οὗτος ἀπὸ τοῦ γράφειν τὰ παρὰ τῇ βουλῇ ὠνόμασται. 25

Svidas (cf. lex. S. quart. p. 185, 12): γραφή· ἡ περὶ τῶν δημοσίων ἀδικημάτων κατηγορία καὶ περὶ [τῶν] ἄλλων ἁμαρτημάτων. γίνονται δὲ γραφαὶ καὶ νόμων καὶ ψηφισμάτων οὐκ ἐπιτηδείων εἰσκομίζεσθαι δοκούντων· αἵτινες γραφαὶ παρανόμων καλοῦνται. 30

Svidas: δαπανᾶν· οὐ τὸ ἀναλίσκειν ἁπλῶς, ἀλλὰ τὸ λαμ-

7—14 hanc glossam ut parum doctam Bernhardy seclusit, sed cf. Boysen l. s. p. 25, 1. 9. 10 *νόμους γενομένου* Radermacher, *γάμους* libri. 27 *τῶν* damn. Bernhardy.

πρῶς ζῆν καὶ σπαθᾶν καὶ δαπανᾶν τῇ ἀσωτίᾳ. οὕτω Δημοσθένης (XL 51). καὶ οἱ ἄλλοι δικανικοὶ οὕτως χρῶνται τῷ ὀνόματι. Θουκυδίδης δὲ 'τὴν πόλιν δαπανᾶν' φησὶν (IV 3, 3) ἀντὶ τοῦ εἰς ἀναλώματα μεγάλα ἐμβάλλειν.

5 Lex. s. quart. p. 186, 27: δατηταί· οἱ τὰ χωρία τοῖς ἀμφισβητοῦσι διανέμοντες οἱονεὶ κριταί.

Suidas: δεκάζεσθαι· ἐρρήθη μὲν ἀπὸ τοῦ κατὰ δέκα φθείρεσθαι δώροις. ὅτε γὰρ βούλοιντό τινες ἀρχῆς τυχεῖν ἢ ἄλλο τι ἀνύσασθαι, κατὰ δέκα ἀνθρώπους ἐδίδοσάν τινα, ὅπως συμπράτ-10 τωσιν αὐτοῖς. ἐξ ἐκείνου δὲ ἤδη τὸν λαμβάνοντα ἕνεκα τοῦ συμπράττειν μὴ ἀπὸ παντὸς τοῦ βελτίστου δεκάζεσθαί φασιν.

Lex. s. quart. p. 186, 29: δεκατεύοντες· ἀποτελοῦντες, ὡς οἱ κλάστικες ἐν τῷ ἱερῷ.

Lex. s. quart. p. 185, 22: δεκάτη καὶ εἰκοστή· οἱ Ἀθη-15 ναῖοι ἐκ τῶν νησιωτῶν ταῦτα ἐλάμβανον.

Lex. s. quint. p. 241, 12: δενδαλίδες· ἱεραὶ κριθαί.

Lex. s. quint. p. 242, 7: δεξαίμην· κεῖται καὶ ἐπὶ τοῦ ὑποδεξαμένου καὶ ἐπὶ τοῦ ἐκπεμπομένου καὶ ἐπὶ τοῦ ἐκπροσδέξασθαι.

Suidas (cf. lex. S. quart. p. 185, 24 et lex. S. quint. p. 241, 17): 20 δεῦρο· τοῦτο τὸ ἐπίρρημά τινες ἐπὶ χρόνου τετάχθαι νομίζουσιν, οἱ δὲ ῥήτορες ἐπὶ τόπου πάντες αὐτῷ χρῶνται· ὡς Αἰσχίνης ἐν τῷ Κατὰ Τιμάρχου (I 174) 'καὶ παρασχεῖν τῷ μὲν φεύγοντι θαρρεῖν, ὅταν αὐτὸς δεῦρο παρέλθῃ'. καὶ Ἀντιφῶν ἐν τῇ Παρανόμων κατηγορίᾳ (fr. 46 Bl.[2]) 'ναυμάχους ὡς περὶ δωρεῶν μὲν 25 εἰπεῖν κατάγειν δεῦρο'. καὶ Δείναρχος ἐν τῷ Κατὰ Λεωχάρους (fr. LXXXV Tur.) 'περὶ τοῦ ταλαιπώρου Διδύμου νῦν πρὸς ὑμᾶς ἐρῶ. καί μοι δεῦρο αὐτοῦ τὸ παιδίον κάλεσον'. καὶ Δημοσθένης (XIX 120) 'ἀπόκριναι γὰρ δεῦρο ἀναστάς μοι'. καὶ ἄλλοι ἕτεροι.

Lex. s. quint. p. 240, 28: δημοτελῆ καὶ δημοτικὰ ἱε-

---

5 *διαιτηταί* liber, em. Boysen. 11 *ἀπὸ παντὸς* Paul. Leopardus, *ἀπαντῶντος* libri. 13 quid sint *κλάστικες* nescio. 17. 18 *ὑποδεξάμενον . . ἐκπεμπόμενον* liber, corr. Radermacher. 24. 25 locus Antiphontis corruptus est; Sauppe coni. *ἐκ ναυμαχίας ὡς περὶ δωρεῶν συνειπεῖν κατάγει δεῦρο.*

ρεῖα διαφέρει· τὰ μὲν δημοτελῆ θύματα ἡ πόλις δίδωσιν, εἰς δὲ τὰ δημοτικὰ οἱ δημόται, εἰς δὲ τὰ ὀργεωνικὰ οἱ ὀργεῶνες, οἳ ἂν ὦσιν ἑκάστου τοῦ ἱεροῦ, εἰς δὲ τὰ τῶν γονέων τὰ γένη.

Lex. s. quart. p. 186, 2: δημοτεύεσθαι· τὸ ἐγγράφεσθαι εἰς ἕνα τῶν δήμων καὶ εἶναι ἐν τῷ ληξιαρχικῷ γραμματείῳ δημοτεύεσθαι ἐκαλεῖτο. 5

Lex. s. quint. p. 241, 14: διαβασιλίζεται· τῆς βασιλείας ἀντιποιεῖται.

Svidas (cf. lex. S. quint. p. 241, 3 et lex. S. quart. p. 186, 24): διαγράμματα· ὅταν εἰσφορᾶς δεήσειεν εἰς τὸ κοινὸν πολέμου 10 ὄντος, τὸ ἑκάστῳ ἐπιγραφόμενον ἀργύριον διάγραμμα καλεῖται.

Svidas (cf. lex. S. quart. p. 186, 19 et Gregor. Corinth. VII 2 p. 1120, 24 W.): διαγραφὴ δίκης· ὅταν ἀπαλλαγῇ τοῦ ἐγκλήματος ὁ φεύγων, ἤτοι κατὰ συγχώρησιν τοῦ διώκοντος ἢ κατὰ διάγνωσιν τοῦ κρίνοντος, καὶ μηκέτι παρὰ μηδενὸς ἐγκαλῆται, 15 διαγραφὴ δίκης λέγεται.

Svidas (cf. lex. S. quart. p. 186, 12 et Gregor. Corinth. VII 2 p. 1119, 24 W.): διαδικασία· διαδικασία ἐστίν, ἣν ποιοῦνταί τινες τοῖς μέλλουσι χορηγεῖν, οὓς ἂν ὁρισθῆναι βούλωνται, πότε χρὴ λειτουργεῖν αὐτούς. 20

Svidas (cf. lex. S. quint. p. 241, 25 et 241, 29): διάθεσις καὶ διατίθεσθαι· ἑκάτερον αὐτῶν κεῖται ἐπὶ τοῦ διαθήκας γράφειν. Ἰσαῖος ἐν τῷ Πρὸς Ἀριστογείτονα (fr. 7 Tur.; 1 Thalh.) 'μετὰ ταύτην τοίνυν τὴν ἀπόκρισιν ἑτέραν διαθήκην ἐκόμισαν, ἣν ἔφασαν Ἀρχέπολιν ἐν Λήμνῳ διαθέσθαι'. καὶ Λυσίας ἐν τῷ 25 Πρὸς Τιμωνίδην (fr. 230 Tur.; 74 Thalh.) 'πῶς δ' ἂν τῆς διαθέσεως τοῦ τετελευτηκότος ἀμελήσαιμεν, ἣν ἐκεῖνος διέθετο οὐ παρανοῶν οὐδὲ γυναικὶ πεισθείς;' ἐχρήσαντο δὲ καὶ ἐπὶ τοῦ πωλεῖν ἑκατέρῳ αὐτῶν. παρ' Ἰσοκράτει δὲ ἐπὶ τοῦ πάσχειν κεῖται τὸ διατίθεσθαι· ὅς φησιν ἐν Ἑλένης ἐγκωμίῳ (X 55) 'γνοίη δ' 30 ἄν τις κἀκεῖθεν, ὅσον διαφέρει τῶν ὄντων, ἐξ ὧν αὐτοὶ διατιθέμεθα πρὸς ἕκαστον τῶν καλῶν'. Ἀντιφῶν δὲ τῇ διαθέσει ἐχρήσατο (fr. 160 Bl.[2]; 24 Diels) ἐπὶ γνώμης ἢ διανοίας· ὁ αὐτὸς καὶ

---

14 *ἤτοι* Gaisford, *ἢ* libri. 15 *τοῦ κρίνοντος* (uel *τοῦ γινώσκοντος*) Radermacher, *τυχόντος* libri.

ἐπὶ τοῦ διαθεῖναι λόγον τουτέστιν ἐπὶ τοῦ ἐξαγγεῖλαί τι. ἐν τῷ δευτέρῳ τῆς Ἀληθείας ὁ αὐτὸς κέχρηται (cf. fr. 94 Bl.[2]; 24 Diels) αὐτῷ καὶ ἐπὶ τῆς διακοσμήσεως.

SVIDAS (cf. lex. S. quart. p. 186, 1): διαιτητάς· τοὺς ὑπὲρ 5 πεντήκοντα ἔτη γεγονότας καὶ καθαροὺς πάσης αἰτίας ὑπειλημμένους ἀπὸ τοῦ ληξιαρχικοῦ γραμματείου κληρώσαντες, τὰ τῶν πολιτῶν διαιτᾶν ἐποίουν. ξένοις μέντοι γε ἐπὶ τούτους ἐλθεῖν οὐ συγκεχώρητο. ἔξεστι δὲ τοῖς μεμφομένοις δίαιταν ἐκκαλεῖσθαι τὸ δημόσιον δικαστήριον.

10 LEX. S. QVART. p. 186, 21 (cf. Gregor. Corinth. VII 2 p. 1120, 27 W. et Suidas s. u. ἀπολαχεῖν et s. u. λῆξιν δίκης): διαλαχεῖν τὸ διανείμασθαι χρήματα λέγεται.

LEX. S. QVINT. p. 241, 13: διαρτᾶν· πλανᾶν, ἐξαπατᾶν.

SVIDAS (cf. Gregor. Corinth. VII 2 p. 1119, 18 W. et lex. S. 15 quart. p. 186, 7): διαψήφισις καὶ ἀποψήφισις· οἱ πολῖται συνίασιν ἕκαστοι κατὰ τοὺς αὐτῶν δήμους, καὶ περὶ τῶν αἰτίαν ἐχόντων ἢ παρεγγεγραμμένων εἰς τὴν πολιτείαν ψῆφον φέρουσι κρύβδην· οἷον Ἀχαρνεῖς περὶ Ἀχαρνέων, καὶ περὶ Ἐλευσινίων οἱ Ἐλευσίνιοι, καὶ οἱ λοιποὶ δημόται παραπλησίως. καὶ τοῦτο 20 διαψήφισις καλεῖται. οἱ μὲν οὖν πλειόνων ψήφων τυγχάνοντες ἀναμφισβητήτως τὴν πολιτείαν ἔχουσιν, ὅσοι δ' ἂν ἐλάττονας ψήφους λάβωσιν, οὐκέτι νομίζονται. καὶ τοῦτό ἐστιν ἡ ἀποψήφισις.

LEX. S. QVINT. p. 242, 1 (cf. lex. S. quart. p. 185, 29): δι-25 ειληχώς· τούτῳ οἱ ῥήτορες ἐπὶ τοῦ μεμερίσθαι κοινὰ χρήματα ἐχρήσαντο.

LEX. S. QVINT. p. 242, 9: διέσειεν· κεῖται ἐπὶ τοῦ κινεῖν καὶ τοῦ λέγειν.

LEX. S. QVINT. p. 241, 20 (cf. lex. S. quart. p. 185, 26 et 30 Suidas s. u. ἐξηγήσασθαι τοῦ διηγήσασθαι διαφέρει): διήγησις ἐξηγήσεως διαφέρει· διηγοῦνται μὲν ἰδιῶται ἄνδρες περὶ τῶν προστυχόντων, ἐξηγοῦνται δὲ οἱ τῶν νόμων ἔμπειροι περὶ ὧν

---

7 *τούτους* Hemsterhuis, *τοῦτο* libri. 16 *ἑκάστοις* libri. *αὑτῶν* Bekker, *αὐτῶν* libri.

προσῆκε γενέσθαι κατὰ τοὺς νόμους. τέτακται δὲ τὸ ἐξηγεῖσθαι καὶ περὶ τοῦ ἐξάρχειν τινός.

Lex. s. quint. p. 309, 33 (u. 5—24 = Aristot. histor. fr. 420, 446, 424, 427, 418, 429, 422, 453 Rose): τίνες ποίων δικαστηρίων εἶχον τὴν ἡγεμο|νίαν· πρὸς τὸν ἄρχοντα κακώσεως ἐλαγχάνοντο γραφαὶ καὶ τῶν γονέων, εἰ τούτους τις αἰτίαν ἔχοι κακοῦν, καὶ τῶν ὀρφανῶν, ἔτι δὲ παρανοίας καὶ ἀργίας, ἐπιδικασίαι ⟨κλήρων⟩ καὶ ἐπικλήρων γυναικῶν. ἁπάσας ταύτας ἦγεν ὁ ἄρχων εἰς τὸ δικαστήριον ἡγεμονίαν αὐτῶν ἔχων. οἱ λογισταὶ τὰς εὐθύνας ἁπάσας εἰσῆγον. ὁ βασιλεὺς εἰσάγει τὰς φονικὰς ἁπάσας, ἐπεὶ καὶ προαγορεύει τὸν ἀνδροφόνον εἴργεσθαι τῶν νομίμων, καὶ περὶ τῶν ἱερῶν καὶ τοῖς γένεσι δικάζει. ὁ πολέμαρχος ἀποστασίου, ⟨ἐπιδικασίας⟩ καὶ κλήρων καὶ ἐπικλήρων τοῖς μετοίκοις· καὶ τἆλλα, ὅσα τοῖς ἀστοῖς ὁ ἄρχων, οὗτος τοῖς μετοίκοις παρέχεται. οἱ θεσμοθέται εἰσῆγον ξενίας καὶ συκοφαντίας καὶ δώρων καὶ ψευδεγγραφῆς καὶ ὕβρεως καὶ μοιχείας καὶ βουλεύσεως. οἱ ἕνδεκα τοὺς κλέπτας καὶ τοὺς λωποδύτας καὶ ἀνδραποδιστὰς ὁμολογοῦντας μὲν ἀποκτιννύουσιν, ἀντιλέγοντας δὲ εἰσάγουσιν εἰς τὸ δικαστήριον. οἱ διαιτηταὶ πᾶσαν δίκην δικάζουσι πλὴν τῶν ξενικῶν, οἷον πρόκλησιν νεμήσεως ἐπί τινων ἢ κληρονομίας ἢ κοινὸν ἀγορασμόν. κυρίως μέντοι οἱ διανέμοντες τὰ κοινά τισιν. οἱ τετταράκοντα, οὓς ἐχειροτόνουν μάλιστα φυλάττειν τὸν δῆμον· οὗτοι, ⟨οἳ⟩ τέως ἦσαν τριάκοντα, ἕως δέκα δραχμῶν ἐδίκαζον κατὰ δήμους. οἱ πεντακόσιοι τοὺς ἐπὶ ἑταιρήσει δοκιμαζομένους ἔκρινον. ἐδοκιμάζοντο δὲ ἐπὶ τῷ ἡταιρηκέναι δοκεῖν ἢ μὴ οὐχ ἅπαντες Ἀθηναῖοι, ἀλλ' οἱ ῥήτορες οἱ πολιτευόμενοι καὶ τὰ ψηφίσματα γράφοντες.

Lex. s. quint. p. 310, 28: ἐν ποίοις δικαστηρίοις τίνες

25—27 cf. p. 157, 6—9.

---

8 *κλήρων* suppletur apud Meier-Schoemann-Lipsium *der attische process* p. 57 s, 43. 12 *νομίμων* ibidem p. 62 s, 60, *νόμων* liber. 13 *ἐπιδικασίας* add. Radermacher. 23 *οὗτοι οἳ τέως ἦσαν τριάκοντα* apud Meier-Schoemann-Lipsium l. s. p. 88 s, 140, *οὗτοι ἕως ἦσαν τριάκοντα* liber. 24. 25 *δοκιμαζομένους* apud Meier-Schoemann-Lipsium l. s. p. 253, 134, *δικαζομένους* liber.

λαγχάνονται δίκαι· Ἡλιαία· καλεῖται δὲ μέγα δικαστήριον καὶ οἱ χίλιοι δικασταί. ἐν τούτοις ἀρχαιρεσίαι γίνονται καὶ αἱ μέγισται κρίσεις καὶ αἱ διοικήσεις. ἐκαλεῖτο δὲ καὶ μεγάλη ἐκκλησία. Ἡλιαία
311 δὲ ἐκλήθη ἤτοι παρὰ | τὸ ἐν αὐτῇ ἁλιάζεθαι τουτέστιν ἀθροίζεσθαι
5 ἢ διὰ τὸ ὕπαιθρον εἶναι τὸν τόπον καὶ ἡλιοῦσθαι. ἐπὶ Παλλαδίῳ· οἱ ἀκούσιοι φόνοι ἐν τούτῳ ἐκρίνοντο. φασὶ γὰρ Δημοφῶντα ἁρπάσαντα Διομήδους τὸ Παλλάδιον φεύγειν ἐφ' ἅρματος, πολλοὺς δὲ ἐν τῇ φυγῇ ἀνελεῖν συμπατήσαντα τοῖς ἵπποις. ὅθεν πρῶτον γενέσθαι ταύτην δίκην ἀκουσίων φόνων ἐπὶ Παλλαδίῳ.
10 δικάζουσι δὲ ἐν τούτῳ οἱ ἐφέται. περὶ Ἀρείου πάγου· αὕτη κρίνει τὰς φονικὰς δίκας καὶ φαρμάκων καὶ πυρκαϊᾶς. εἰς ταύτην ἀναβαίνουσιν οἱ καλῶς ἄρξαντες θεσμοθέται, ἀνυπεύθυνοι γενόμενοι. ἐπὶ Δελφινίῳ ὁμολογούμενος φόνος ἔννομος δικάζεται. ἐπὶ πρυτανείῳ· ἐὰν λίθος ἢ σίδηρος ἢ ξύλον φανῇ, τὸν
15 δὲ δράσαντα ἀγνοῇ. ἐν Ζέᾳ· τόπος ἐστὶ παράλιος. ἐνταῦθα κρίνεται ὁ ἐπ' ἀκουσίῳ μὲν φόνῳ φεύγων, αἰτίαν δὲ ἔχων ἐπὶ ἑκουσίῳ φόνῳ. ἐν Φρεαττοῖ· οἱ ἐπ' ἀκουσίῳ φόνῳ φεύγοντες, ἐπ' ἄλλῳ δέ τινι κρινόμενοι· οἳ ἐπὶ πλοίῳ ἑστῶτες ἀπολογοῦνται.

Lex. s. quint. p. 241, 6 (cf. lex. S. quart. p. 186, 5 et Suidas
20 s. u. δίκη a): δίκη τί ἐστι; δίκη ἐστίν, ἣν ὑπὲρ ἰδίων ἁμαρτημάτων οἱ βουλόμενοι ἵστανται πρός τινας, καὶ ἧς τὸ ἐπιτίμιον ὡρισμένον ἐστὶ τοῖς νόμοις· εἰσὶ δὲ δίκαι καὶ περὶ ἑτέρων ἐγκλημάτων. καὶ ὄνομα ἴδιον ἑκάστη ἔχει κατὰ τοὺς νόμους, οἷον ἀποστασίου, αἰκίας, ὕβρεως, τραύματος, φόνου, καὶ ἄλλαι ὁμοίως δίκαι.

25 Suidas (cf. lex. S. quart. p. 185, 30): δίκης ἀνάκρισις· οὐ πάσας δίκας κελεύουσιν οἱ νόμοι εἰσάγεσθαι, ἀλλ' ὅταν ὁ φεύγων ἀντιλέγῃ καὶ παραγράφηται, λέγων εἰσαγώγιμον μὴ εἶναι αὐτήν, πρότερον ἐπὶ τούτῳ γίνεται κρίσις, ἥτις δίκης ἀνάκρισις λέγεται.

Lex. s. quart. p. 186, 25: Διοπείθης· οὗτος προδότης
30 τῶν Ἀθηναίων κατηγορεῖται.

Lex. s. quint. p. 241, 31: δίχα· τῷ δίχα οἱ ῥήτορες ἐπὶ τοῦ διχῶς ἐχρήσαντο, ὅταν μηνῦσαι θέλωσι δύο, καὶ οὐκ ἐπὶ τοῦ χωρίς, ὡς ἔνιοι.

Suidas (cf. lex. S. quart. p. 186, 16 et Gregor. Corinth. VII 2

1—5 cf. p. 167, 7—10.

p. 1120, 29 W.): διωμοcία καὶ ἀντωμοcία· ὅταν οἱ κατηγοροῦντες ὀμνύωcιν, ὡc ἀληθῶc κατηγοροῦcι, τοῦτο διωμοcία· ὅταν δὲ οἱ κατηγορούμενοι ὀμνύωcι τὸν αὐτὸν ὅρκον, διαλυόμενοι τὰ ἐγκλήματα, τοῦτο ἀντωμοcία.

Svidas (cf. lex. S. quart. p. 185, 32 et lex. S. quint. p. 241, 15 et Gregor. Corinth. VII 2 p. 1121, 6 W.): δοκιμαcίαν ἐπαγγεῖλαι· τὸ δίκην ἑταιρήcεώc τινα καταγγεῖλαι. γίνεται δὲ ἡ τῆc ἑταιρήcεωc δοκιμαcία οὐ πᾶcιν, ἀλλὰ πολιτευομένοιc ῥήτορcι καὶ ψηφίcματα γράφουcι. 5

Lex. s. qvint. p. 242, 3: δρῦν φέρειν διὰ τῆc ἀγορᾶc· τὸ τοὺc ἀπελευθερωθένταc δούλουc καὶ ἄλλουc βαρβάρουc κλάδον δρυὸc ἕκαcτον διὰ τῆc ἀγορᾶc ἐν τῇ τῶν Παναθηναίων ἑορτῇ φέρειν. 10

Lex. s. qvint. p. 240, 32 (cf. lex. S. quart. p. 186, 14): δωροξενίαc δίκη· δίκηc εἰcαγωγὴ πρὸc τὸν κριθέν|τα ξενίαc, δόξαντα μὴ δικαίωc ἀποπεφευγέναι διὰ τὸ δωροδοκῆcαι τοὺc δικαcτάc. 241 16

Svidas: ἔγγειον· 'ὁ δὲ κατεκληρούχει τὴν χώραν, διδοὺc ἑκάcτῳ ταλάντειον κλῆρον, οὕτωc ὑπολαμβάνων cτῆναι τὰ κατὰ τὴν πόλιν, προcδεθέντων τῶν ἀνθρώπων ταῖc ἐγγείοιc κτήcεcι'. τινὲc ἐπὶ τοῦ ἐγγυτέρω. οὐχ οὕτωc δὲ οἱ ῥήτορεc ἔταccον, ἀλλ' ὅταν τὸ ἐν γῇ θέλωcι δηλῶcαι, ὡc Δημοcθένηc ἐν τῷ Πρὸc Ἀπατούριον (XXXIII 3) 'οὐκ ὄντοc ἐμοὶ πρὸc τοῦτον, οὔτε ναυτικοῦ οὔτε ἐγγείου cυμβολαίου'. καὶ Λυcίαc (fr. 265 Tur.; 91 Thalh.) 'τοῦ νόμου κελεύοντοc τοὺc ἐπιτρόπουc τοῖc ὀρφανοῖc ἔγγειον τὴν οὐcίαν καθιcτάναι, οὗτοc δὲ ναυτικοὺc ἡμᾶc ἀποφαίνει'. 20 25

Lex. s. qvint. p. 259, 17 (cf. lex. S. quart. p. 187, 24): ἐγγενήc· ὁ ἀcτὸc ἐξ ἀcτῶν ἐγγενὴc καλεῖται.

Lex. s. qvart. p. 187, 12: ἐγγυῆcαι· ὅταν τιc κρινόμενοc παράcχῃ δοῦλον ἀνθ' ἑαυτοῦ τιμωρηθῆναι.

Lex. s. qvint. p. 260, 4: ἐγκτήματα κτημάτων διαφέρει· κτήματα μέν ἐcτιν, ἃ ἔχουcί τινεc ἐν τῇ οἰκείᾳ γῇ, ἐγκτήματα δέ, εἰ ἐν ἀλλοτρίᾳ γῇ τινι ὑπάρχει. 30

6—9 cf. p. 155, 25—27.

---

18 *ταλαντιαῖον* Bernhardy. 20 *οὕτω* libri.

Lex. s. quint. p. 259, 18 (cf. lex. S. quart. p. 187, 25): ἐγχώριος· ἐγχώριός ἐστιν ὁ ἐν τῇ χώρᾳ ὤν, τουτέστιν ὁ ἐπιδημῶν, εἴτε ξένος εἴη, εἴτε ἀστός.

Lex. s. quint. p. 260, 9: ἐδαπανᾶτο· κεῖται παρὰ τοῖς ῥή-
5 τορσι καὶ ἐπὶ τοῦ ἀνηλίσκετο τὰ χρήματα καὶ ἐπὶ τοῦ ἀνήλισκεν αὐτός τις.

Suidas (cf. lex. S. quint. p. 259, 32): ἐδωλιάσαι καὶ ἰκριῶσαι· ἑκατέρῳ αὐτῶν ἐχρήσαντο. τὸ μὲν οὖν ἐδωλιάσαι οἷον συνθεῖναι ἔκ τινων ξύλων ἁπλῶς πρὸς τόπον τινὰ συντεθέντων,
10 τὸ δὲ ἰκριῶσαι δύναιτ' ἂν καὶ ὡς κοινότερον λεχθὲν νοεῖσθαι· πολλοὶ γὰρ τῶν ἰδιωτῶν ἴκρια καλοῦσι τὰς ἐκ τῶν μακρῶν ξύλων συντιθεμένας στέγας ὑπὸ στέγαις ἑτέραις.

(u. 13—16 = 27 B.) Lexic. rhet. Cantabr. p. 667, 12 Dobree = p. 337, 15 Nauck: εἰσαγγελία· κατὰ καινῶν
15 καὶ ἀγράφων ἀδικημάτων. αὕτη μὲν οὖν ἡ Κεκιλίου
339 Nauck δόξα. . . . . | . . Κεκίλιος δὲ οὕτως ὡρίσατο· εἰσαγγελία ἐστὶν ὃ περὶ καινῶν ἀδικημάτων δεδώκασιν ἀπενεγκεῖν οἱ νόμοι. ἔστι δὲ τοῦτο μελετώμενον ἐν ταῖς τῶν σοφ⟨ιστ⟩ῶν διατριβαῖς.

20 a Suidas (cf. lex. S. quint. p. 244, 18 et Gregor. Corinth. VII 2 p. 1119, 1 W.): εἰσαγγελία· κυρίως ἡ περὶ καινῶν καὶ δημοσίων ἀδικημάτων εἰσαγομένη δίκη ὑπὸ τῶν πρυτάνεων, περὶ ὧν διαρρήδην μὲν οὐδὲν λέγουσιν οἱ νόμοι, συγχωροῦσι δὲ κρίσεις γενέσθαι. καὶ τοῦτό ἐστιν οἷον τὸ ἐν ταῖς τῶν σοφιστῶν
25 διατριβαῖς μελετώμενον, τὸ τῶν ἀγράφων ἀδικημάτων.

---

9 *ἔκ τινῶν* Bekker. 14 *καινῶν* Dobree, *κοινῶν* cod. 15 *Καικιλίου* Dobree, *Κικίνου* cod. 16 *Καικίλιος* Dobree, *κακεῖ* cod. 18 *τοῦτο* Sauppe, *τὸ* cod. 18. 19 *σοφιστῶν* Dobree, *σοφῶν* cod. *ἐν ταῖς τῶν σοφιστῶν διατριβαῖς*] ex his uerbis Fr. Osann *beitraege zur griech. u. roem. litteraturgeschichte* I 1835 p. 295—297 concludit Caecilii librum exstitisse, cui libro *αἱ τῶν σοφιστῶν* (siue *σοφῶν*) *διατριβαί* inscripto postea a Longino liber *Φιλόλογοι ὁμιλίαι* oppositus esset. sed hoc refutauerunt Maurit. Herm. Ed. Meier, Opuscula academica I 1861 p. 130, 37 et Klein l. s. p. 579. 21 *κοινῶν* libri.

Lex. s. quart. p. 187, 29: εἰς ἐμφανῶν κατάστασιν· ὅταν τὰ ἐπιδικαζόμενα τεθῶσιν ἐπὶ τοῦ ὑπάρχου.

Suidas (cf. lex. S. quart. p. 187, 22): εἰσιτήρια· ἡμέρα ἑορτῆς, ἐν ᾗ οἱ ἐν τῇ ἀρχῇ πάντες προΐασιν, οὕτως ἐκαλεῖτο. ταύτην δὲ τὴν ἡμέραν πρώτην τοῦ ἔτους Ἀθηναῖοι νενομίκασι. 5 Δημοσθένης ἐν τῷ Περὶ τῆς παραπρεσβείας (XIX 190) 'ἡ βουλὴ τὰ εἰσιτήρια ἔθυσεν, συνεστιάθησαν δὲ καὶ τῶν ⟨ἱερῶν⟩ ἐκοινώνησαν οἱ στρατηγοὶ καὶ σχεδὸν εἰπεῖν αἱ ἀρχαὶ πᾶσαι'.

Suidas (cf. lex. S. quint. p. 259, 30): ἐκγαμηθῆναι· ὅταν εἰς ἕτερον γένος ἐκδοθῇ παρθένος, οἱονεὶ τοῖς μὴ προσήκουσι, 10 τοῦτο ἐκγαμεῖσθαι λέγεται.

Suidas: ἐκδέξασθαι· οὐκ ἐπὶ τοῦ ἀναμεῖναι, ἀλλ' ἐπὶ τοῦ ἀναδέξασθαι καὶ ἀναλαβεῖν.

Lex. s. quart. p. 188, 1: ἐκεῖ ἐν τόπῳ, ἐκεῖσε εἰς τόπον. καὶ ἐπὶ χρόνου τάσσεται. 15

Suidas (cf. lex. S. quart. p. 188, 28): ἐκκλητευθῆναι· τῶν ἐγκαταλιπόντων μαρτυρίαν τὰ ὀνόματα ἐν τῷ δικαστηρίῳ κηρύσσεται· ὅπερ ἔλεγον ἐκκλητευθῆναι [καὶ ἐκκλητεύειν].

Suidas (cf. lex. S. quint. p. 259, 21): ἔκλειψις καὶ ἐξέλιπεν· ἑκάτερον αὐτῶν τέτακται ἐπὶ τῶν διαψηφίσεων τῶν γινο- 20 μένων ἐν τοῖς δήμοις περὶ τῶν γινομένων εἰς τὸ ληξιαρχικὸν γραμματεῖον. ὅσοι μὲν ἐγκαλούμενοι ὅτι μή εἰσιν ἀστοὶ ἀπαντῶσι πρὸς τὰ ἐγκλήματα, περὶ τούτων οἱ δημόται ψῆφον φέρουσιν· ὅστις δὲ μὴ παρεγένετο κριθησόμενος, ἐξέλιπεν οὗτος τὴν περὶ αὑτοῦ διάγνωσιν. καὶ τοῦτο ἔκλειψις καλεῖται. 25

Suidas: ἐκλογεῖς· . . . οἱ τοὺς φόρους ἀπὸ τῶν ὑπηκόων ἀθροίζοντες πόλεων οὕτως ἐλέγοντο.

Suidas (cf. lex. S. quart. p. 188, 24): ἐκμαρτυρεῖν φασι τὸ λέγειν, οὐχ ἅπερ αὐτὸς οἶδεν, ἀλλ' ἅπερ ἑτέρων ἤκουσε λεγόντων. 30

---

4 *προΐασιν* Bekker. 7 *ἱερῶν* suppl. Bernhardy. 18 *καὶ ἐκκλητεύειν* del. Bekker. 21 *γινομένων*] *γραφομένων* Hemsterhuis, *ἐγγεγραμμένων* Bekker ex lex. S. quint. 25 *αὑτοῦ* Bekker.

Svidas (cf. lex. S. quart. p. 187, 21): ἐκωδωνίζοντο· περιβόητοι ἐγένοντο. τέτακται καὶ ἐπὶ τοῦ ἐπειράθηcαν. οὕτω Λυcίαc (fr. 313 Tur.; cf. 116 Thalh.).

Lex. s. qvart. p. 188, 16 (cf. Suidas s. u. Ἑλληνοταμίαι a):
5 Ἑλληνοταμίαc· τοὺc ἐκπεμπομένουc διανεῖμαι τὰ τέλη τοῖc ἔξω ἄρχουcιν ἔλεγον οὕτωc.

Lex. s. qvart. p. 187, 32: ἔμβραχυ· τὸ εὐχερῶc πραττόμενον.

Svidas (cf. lex. S. quint. p. 259, 6): ἐναυλήματα· ἄλφιτα οἴνῳ καὶ ἐλαίῳ δεδευμένα. ἔνιοι δὲ καὶ αὐτὰ τὰ ἄλφιτα ἐναυλή-
10 ματα καλοῦcιν. cf. θυλήματα infra p. 168, 29.

Svidas (cf. Gregor. Corinth. VII 2 p. 1119, 12 W. et lex. S. quart. p. 187, 4): ἔνδειξιc· ἐάν τιc ἄτιμοc ὢν ἢ ὠφληκὼc τῷ δημοcίῳ καὶ μὴ ἐκτετικὼc ἄρχειν ἢ δικάζειν ἐπιχειροίη, τοῦτον ἐνδείκνυcιν ὁ βουλόμενοc τῶν πολιτῶν. ὁμοίωc καὶ τὸν ἀντι-
15 ποιούμενον πράξεων ἢ τόπων ἀπηγορευμένων τοῖc νόμοιc, οἷον τὸν ἠταιρηκότα τῆc ἀγορᾶc καὶ τοῦ λέγειν ἐν τῷ δήμῳ, ἔτι τὸν κακῶc λέγοντα τοὺc τετελευτηκόταc ἀδίκωc. ἔπειτα τοῖc ἁλοῦcι τούτων τινὸc τιμῶcιν οἱ δικαcταί, τί χρὴ παθεῖν ἢ ἀποτῖcαι.

Lex. s. qvart. p. 187, 19: ἐν Δελφοῖc cκιά· εἴρηται περὶ
20 τοῦ προcήκοντοc.

Svidas s. u. ἐνεπίcκημμα (cf. lex. S. quart. p. 189, 2): . . . ἐνεπιcκήψαcθαι . .· καταδικαcθέντων τινῶν δημεύεcθαι τὰc οὐcίαc, εἰ λέγοιέν τινεc ὡc εἴηcαν δανειcταὶ τῶν δημευομένων, ἀπογράφεcθαι τούτουc ἐκέλευον, πότε καὶ πόcον ἐδάνειcαν ἀργύ-
25 ριον· ὅπερ ἐλέγετο ἐνεπιcκήψαcθαι.

Lex. s. qvart. p. 189, 9: ἐνηνόμεθα· ἐcπουδάζομεν, παθητικὸν ἀντὶ ἐνεργητικοῦ.

Lex. s. qvart. p. 187, 17: ἐνιαυcία καὶ κατενιαύcιοc· ἣν ποιοῦcι τοῦ τετελευτηκότοc μνείαν. ἔcτι δὲ ἀρχή.

---

8 *ἐνθυλήματα* uulgo edunt, *ἐναυλήματα* libri; cf. infra p. 168, 29 *θυλήματα*. 19. 20 haec glossa pertinet ad Dem. V 25; quare aut *περὶ τοῦ ⟨οὐδὲν⟩ προσήκοντος* exspectatur, aut scholiasta uerbis *περὶ τῶν οἰκείων*, quae paulo ante leguntur, ductus errauit (Wuensch). 25 *ἐνεπισκήψασθαι* Kuester, *ἐπισκήψασθαι* libri. 28 *κατενιαύσιος* coni. Radermacher, *ἐνιαυτός* liber.

Lex. s. qvart. p. 188, 18: ἐν χιλίαις ὁ κίνδυνος καὶ χιλιῶσαι· οἱ κατηγοροῦντες τοὺς κλέπτας καὶ μὴ παριστῶντες χιλίας δραχμὰς ἐτέλουν καὶ οἱ μάτην ἀπογραφόμενοί τινος οὐσίαν.

Svidas (cf. lex. S. quint. p. 260, 11): ἐξαγώνιος· ἔξω τοῦ ἀγῶνος. οἱ μὲν πολλοὶ τοὺς ἐν ταῖς σκηναῖς ἀγωνιζομένους οἴονται καλεῖσθαι δεῖν, ὅταν ἢ παραλείπωσί τι τῶν ἐξ ἀνάγκης ῥήσεων ἢ ποιῶσί τι παρὰ τὸ προσῆκον. Αἰσχίνης δὲ (I 176) ἐπὶ τῶν ἔξω τοῦ ἀγῶνος λεγομένων λόγων, τουτέστιν οὐ προσηκόντων εἰρῆσθαι. 5

Lex. s. qvart. p. 188, 3: ἐξεστηκὼς οἶνος· διεφθαρμένος οἶνος τῆς ἰδίας ἐνεργείας. 10

Svidas (cf. lex. S. quart. p. 187, 10): ἐξηγηταί· οἱ τοὺς νόμους τοῖς ἀγνοοῦσιν ὑποδεικνύοντες καὶ διδάσκοντες περὶ τοῦ ἀδικήματος, οὗ ἕκαστος γράφεται.

Svidas (cf. lex. S. quart. p. 188, 26): ἐξομόσασθαι· οἱ μαρτυρήσειν τισὶν ἐν δικαστηρίῳ ὑπισχνούμενοι, εἰ μετὰ ταῦτα μὴ βούλοιντο καταμαρτυρεῖν, ὤμνυον μηδὲν ἐπίστασθαι. καὶ τοῦτό ἐστιν ἐξομόσασθαι. 15

(= 25 B.) Harpocratio s. u. *ἐξούλης* .... p. 118, 8 Dind.: .. *ὅτι δὲ ἐπὶ παντὸς τοῦ ἐκ τῶν ἰδίων ἐκβαλλομένου τάττεται τοὔνομα, καὶ οὐχ ὡς οἴεται Κεκίλιος μόνων τῶν ἐκ καταδίκης ὀφειλόντων, καὶ Φρύνιχος ἐν Ποαστρίαις* (fr. 42 CAF I 381 K.) *δῆλον ποιεῖ.* 20

a Scholion Demosth. or. XXI in Midiam 44 p. 557, 27 Dind.: ἐξούλης δὲ ἦν, ὅτε ἐκινδύνευεν ἐκπεσεῖν κτήματός τινος, ἢ χωρίου ἢ οἰκίας, διὰ τὸ μὴ ἐκτετικέναι τὴν καταδίκην κατὰ χρόνον τὸν ὡρισμένον καὶ ἐγίγνετο δημόσιον τὸ τίμημα. ad Caecilium refert Radermacher. 25

b Gregor. corinth. VII 2 p. 1120, 17 W. (cf. Suidas s. u. ἐξούλης δίκη et lex. S. quart. p. 188, 7): οἱ δὲ χωρίον ἢ οἴκημα 30

---

7 *ποιῶσι* Bekker, *ποιεῖν* libri. 22 *μόνος* libri, corr. Valesius. 30 — p. 162, 4 Gregorium exscripsi, non Suidam, quia ille plura praebet quam hic; cf. Boysen l. s. p. 20.

νομίμως ἐκ καταδίκης ἀπειληφότες καὶ κωλυόμενοι ἐξούλης ἐγράφοντο τοὺς ἐκεῖθεν αὐτοὺς ἀπελαύνοντας· ἀρχαῖον γὰρ καὶ Ἀττικὸν ὄνομα τὸ ἐξίλλειν, ὅπερ οἱ μεταγενέστεροι ἑλληνικώτερον ἐξειλεῖν λέγουσι, τουτέστιν ἀπελαύνειν τῶν νενομισμένων.

5 Svidas (cf. Gregor. Corinth. VII 2 p. 1121, 4 W.): ἐξωμοσία· .. ἐξωμοσία, ὅταν τις φάσκῃ ἢ ὑπὲρ ἑαυτοῦ ἢ ὑπὲρ ἑτέρου ἐγκαλούμενος μὴ δεῖν εἰσάγεσθαι δίκην· εἶτα καὶ τὴν αἰτίαν, δι' ἣν οὐκ εἰσαγώγιμος ἡ δίκη· εἰ δοκεῖ κατὰ λόγον ἀξιοῦν, ἐδίδοτο αὐτῷ ἐξωμοσίᾳ χρῆσθαι. καὶ οὕτως διεγράφετο ἡ δίκη.

10 Lex. s. qvint. p. 260, 20: ἐπαγγείλασθαι τὸ κελεύειν ἢ καταγγέλλειν λέγεται.

Lex. s. qvart. p. 188, 5: ἐπαιτιώτατοι συκοφάνται.

Svidas (cf. lex. S. quint. p. 259, 9): ἐπακτρία χώρα· κατὰ τοὺς παλαιοὺς χρόνους κωμηδὸν οἰκοῦντας τοὺς Ἀθηναίους ὁ 15 Κέκροψ συναγαγὼν κατῴκισεν εἰς πόλεις δώδεκα, καὶ τούτων τῶν πόλεων ἐπώνυμον μίαν ἀφ' ἑαυτοῦ Κεκροπίαν προσηγόρευσεν, δύο δὲ τετραπόλεις ἐκάλεσεν, ἐκ [τῶν] τεττάρων πόλεων ἑκατέραν μοῖραν καταστήσας, τρεῖς δὲ τὰς λοιπὰς ἐπακτρίδας ὠνόμασε. καὶ ἡ προσεχὴς χώρα ταύταις ταῖς τρισὶν ὁμωνύμως αὐταῖς ἐπ-20 ακτρία ἐκαλεῖτο.

Lex. s. qvart. p. 187, 31: ἐπακτροκέλης· πλοίου εἶδος πειρατικοῦ.

Lex. s. qvart. p. 188, 14: ἐπ' ἐκφορᾷ δόρυ ἐξενεγκεῖν· τοῦτο τοῖς βιαίως θνήσκουσιν ἐτίθετο τρεῖς ἡμέρας. οὕτως ἐκρίνετο.

25 Svidas (cf. lex. S. quint. p. 260, 7): ἐπίγραμμα· πάντα τὰ ἐπιγραφόμενά τισι, κἂν μὴ ἐν μέτροις εἰρημένα, ἐπιγράμματα λέγεται.

Svidas (cf. lex. S. quart. p. 187, 14): ἐπιγραφεῖς· ὁπότε δεήσειεν ἀργύριον εἰσφέρειν εἰς τὸ δημόσιον τοὺς ἀστοὺς ἢ τοὺς μετοίκους, οἱ ταῦτα διαγράφοντες ἐπιγραφεῖς ἐκαλοῦντο.

---

4 *ἐξελεῖν* libri, em. Radermacher. 9 *οὕτω* Bekker. 15 *πόλεις* Vindingius, *φυλὰς* libri. 15. 16 *καὶ τούτων τῶν πόλεων ἐπώνυμον μίαν ἀφ' ἑαυτοῦ* Radermacher, *καὶ τὴν τῶν πολιτῶν ἐπωνυμίαν ἀφ' ἑαυτοῦ* libri. 17 *τῶν* secl. Vindingius, dubitat Radermacher, quam recte. 19. 20 *ἐπακτρία* Bekker, *ἐπακτριὰς* libri.

Lex. s. quint. p. 259, 1: ἐπιδανεῖcαι τί ἐcτιν; ὅταν δεδανεικότος τινὸς καὶ ἐνεχυριάσαντος οἰκίαν ἢ χωρίον, ἐπιδανείσῃ τις ἕτερος ἐπὶ τοῖς αὐτοῖς ἐνεχύροις, ἐπιδανεῖσαι λέγεται.

Suidas: ἐπίδικα· οἷς ἂν τις ἐπεδικάζετο, ὡς προσήκουσιν αὐτῷ κατὰ γένους ἀγχιστείαν, εἰ μὴ εἶεν υἱεῖς ἢ υἱωνοὶ τῷ τε- 5 τελευτηκότι μήτε μὴν διαθῆκαι, ταῦτα ἐπίδικα καλεῖται.

Suidas (cf. lex. S. quint. p. 216, 25): ἐπὶ καλάμῃ ἀροῦν· ἔθος ἐστὶ τοῖς γεωργοῖς παρ' ἐνιαυτὸν ἀργὸν καταλείπειν τὴν γῆν, ὅπως ἀκεραίους ἐκτρέφῃ τοὺς καρπούς, ὡς μὴ κατ' ἔτος τοῖς σπέρμασι πονοῖτο. Λυσίας ἐν τῷ Πρὸς Τληπόλεμον λόγῳ 10 διαβάλλων τινὰ τῶν ἀπλήστων γεωργῶν τὰ ἐν τῇ γῇ καταχρώμενον καὶ κατ' ἔτος ἐξαναλίσκοντα τὴν ἰσχὺν αὐτῆς φησίν (fr. 212 Tur.; 77 Thalh.) 'οὑτοσὶ δὲ πυροὺς ἐπὶ καλάμῃ ἀροῖ'. τουτέστιν ἀεὶ σπείρων οὐδεμίαν ἄνεσιν τῇ γῇ δίδωσιν.

Suidas: ἐπίκληρος· ὅταν παῖς ὀρφανὴ πατρὸς καὶ μη- 15 τρὸς ἀδελφῶν τε οὖσα ἔρημος καὶ ταύτῃ τύχῃ ὑποκειμένη οὐσία, ταύτην καλοῦσιν ἐπίκληρον. ὁμοίως δὲ καὶ τὴν ἤδη γεγαμημένην, ὅταν ᾖ ἐπὶ τῇ οὐσίᾳ ὅλῃ καταλελειμμένη· καλοῦσι γὰρ καὶ τὴν οὐσίαν κλῆρον. καλεῖται δὲ ἐπίκληρος καὶ ἡ μηδέπω γεγαμημένη, ἀλλὰ παρὰ τῷ πατρὶ οὖσα, καθότι καθήκει αὐτῇ 20 πᾶσα ἡ οὐσία. καλοῦνται δὲ ἐπίκληροι, κἂν δύο ὦσι κἂν πλείους. τινὲς δὲ τὴν ἐπίκληρον καλοῦσιν ἐπιπαματίδα καὶ πατροῦχον.

Lex. s. quint. p. 260, 23: ἐπικληρωτόν· δικαστήριον ἐν ᾧ οἱ λαγχάνοντες δικάζουσι· τὸ γὰρ χωρὶς κλήρου πράττειν τι καὶ μὴ λαχόντα ἀκληρωτὶ λέγουσιν. 25

Lex. s. quart. p. 187, 20: ἐπίληπτος· ὁ νοσῶν τὴν ἱερὰν νόσον.

Suidas (cf. lex. S. quart. p. 188, 22) [= Aristot. histor. fr. 437 Rose]: ἐπιστάτης· τῶν πρυτάνεων εἷς ὁ λαχὼν ἐπιστάτης ἐλέγετο. δὶς δὲ τὸν αὐτὸν ἐπιστατῆσαι οὐκ ἐξῆν. φυλάσσει δὲ τοῦ ἱεροῦ τὰς κλεῖς, ἐν ᾧ τὰ δημόσια χρήματα, ἔτι μὴν καὶ τὴν 30 δημοσίαν σφραγῖδα. ἐπειδὰν δὲ οἱ πρυτάνεις συναγάγωσι τὴν βουλὴν ἢ τὸν δῆμον, ὁ ἐπιστάτης κληροῖ προέδρους ἐννέα, ἀπὸ

10 *Τληπόλεμον* Sauppe, *τακπόλεμον* plerique codices (A B V E). 15 *ὀρφανὴ* ⟨*ἢ*⟩ Bernhardy. 22 *ἐπιπταματίδα* libri, corr. Bernhardy.

φυλῆϲ ἑκάϲτηϲ ἕνα πλὴν τῆϲ πρυτανευούϲηϲ. καὶ πάλιν ἐκ τῶν ἐννέα τούτων ἐπιϲτάτην ἕνα κληροῖ καὶ τὸ πρᾶγμα παραδίδωϲιν, αὐτὸϲ δὲ εἰϲάγει τὴν δίκην καὶ ἐπιμελεῖται κατὰ νόμον πάντα γε νέϲθαι καὶ μηδὲν παραλειφθῆναι πρὸϲ τὸ διδαχθῆναι τοὺϲ δικαϲτάϲ.

Lex. s. quint. p. 260, 17: ἐπιτροπή· καὶ ἡ τῶν ὀρφανῶν ἐπιμέλεια παρὰ τοῖϲ ῥήτορϲι, καὶ τὸ ϲυγχωρῆϲαί τινι τοὺϲ ἀμφιϲβητοῦνταϲ διακρῖναι περὶ ὧν πρὸϲ ἀλλήλουϲ ἔχουϲιν.

Lex. s. quint. p. 259, 20 (cf. lex. S. quart. p. 187, 25): ἐπιχώριοϲ· ὁ εὐγενὴϲ καὶ γένει πολίτηϲ.

Svidas (cf. lex. S. quart. p. 187, 27): ἐπλινθεύθηϲαν· τὸ κατακλειϲθῆναι περιοικοδομημένον, ὥϲτε ἔξοδον μὴ εἶναι καὶ οὕτω παντελεῖ ἀπορίᾳ ποτοῦ καὶ τροφῆϲ τεθνάναι, πλινθευθῆναι λέγεται.

Svidas (cf. Gregor. Corinth. VII 2 p. 1121, 12 et lex. S. quart. p. 189, 1): ἐπωβελία· πολλῶν εἰϲ χρήματα ϲυκοφαντούντων τοὺϲ ἐπιεικεῖϲ καὶ ἀπράγμοναϲ τῶν πολιτῶν καὶ μάλιϲτα τοῦτο πράττειν διαβαλλομένων τῶν περὶ τὸ ἐμπόριον ϲυμβαλλόντων ἐπὶ ναυτικοῖϲ τόκοιϲ Ἀθηναῖοι ζημίαν ἔταξαν κατὰ τῶν ἐγκαλούντων ὀβολὸν ἐκτίνειν, εἰ μὴ καθ' ὧν ἐνεκάλουν, τούτουϲ ἕλοιεν. ταύτην τὴν ζημίαν ἐπωβελίαν ὠνόμαϲαν.

Svidas (cf. lex. S. quart. p. 189, 7): ἐπώνυμοι· οἱ κατ' ἀρετὴν διαπρέποντεϲ ἀϲτοὶ καὶ ξένοι χαλκαῖϲ εἰκόϲιν ἐτιμῶντο· ἀφ' ὧν ἐνίων καὶ ταῖϲ φυλαῖϲ ἐτέθη ὀνόματα. φαϲὶ δ' ἐκεῖθεν πρῶτον δόξαι τὰϲ φυλὰϲ ἐξηγήϲαϲθαι. ἀπορούντων γὰρ αὐτῶν ὄνομα ταῖϲ φυλαῖϲ θέϲθαι, ἀπὸ τῶν ἐνδοξοτάτων τοῦτο ποιῆϲαι, καὶ ἕκαϲτον ἑκατὸν ὀνόματα ἰδίᾳ γραψάμενον κληρῶϲαι. παρὰ δ' οὖν τὰϲ εἰκόναϲ τῶν ἐπωνύμων τούτων εἰϲηγοῦντο τοὺϲ νόμουϲ, πρὶν ἢ γενέϲθαι κυρίουϲ, ἵν' ἐντυγχάνοντεϲ αὐτοῖϲ οἱ βουλόμενοι κατηγοροῖεν.

Svidas (cf. lex. S. quint. p. 259, 13): ἐργολάβοϲ· οὐχ ὥϲπερ ἐν τῇ ϲυνηθείᾳ δοκοῦμεν ἐργολάβον καλεῖν τὸν ὑπέρ τινων ἔργων

30 ad uerba *ἐν τῇ συνηθείᾳ .. καλεῖν* cf. Diels l. s. p. XXVIII.

---

11 *περιοικοδομημένον* Radermacher, *περιῳκοδομημένον* Bekker, *περὶ οἰκοδόμημα μόνον* uulg. 12 *παντελεῖ* Kuester, *παντελῆ* libri. 22 *ἀφ' .. ἐτέθη* Bekker, *ὑφ' .. ἐτίθει* uulg. 26 *δ' οὖν* Bekker, *γοῦν* libri.

μισθὸν λαμβάνοντα καὶ ἔχοντα τοὺς συνεργαζομένους, οὕτω καὶ οἱ ῥήτορες ἐξεδέξαντο τὸν ἐργολάβον, ἀλλ' ἐπὶ φλαύρων πραγμάτων χρῶνται τῷ ὀνόματι, ὡς Δημοσθένης ἐν τῇ Πρὸς τὴν βουλὴν καὶ τὸν δῆμον ἐπιστολῇ (epist. III 34) 'πολὺ γὰρ μᾶλλον εὐνοίας καὶ φιλανθρωπίας τὰ παρόντα πράγματα δεῖται ἢ ταραχῆς 5 καὶ δυσμενείας, ὧν ὑπερβολῇ χρώμενοί τινες ἐργολαβοῦσι καθ' ὑμῶν εἰς ὑποδοχὴν πραγμάτων, ὧν διαψευσθεῖεν'.

Svidas (cf. lex. S. quint. p. 259, 11): ἐσχηματισμένος· ὁ προσποιητὸν τρόπον ἔχων καὶ δοκῶν εἶναι κόσμιος, ὡς παρὰ Λυσίᾳ ἐν τῷ Πρὸς Τίμωνα (fr. 229 Tur.; 73 Thalh.) 'οἱ δ' ἀλα- 10 ζονεύονται μὲν Τίμωνι παραπλησίως καὶ ἐσχηματισμένοι περιέρχονται ὥσπερ οὗτος'.

Lex. s. qvart. p. 188, 6: ἐτίθευσεν· ἔθρεψεν.

Lex. s. qvint. p. 260, 21: εὐδοκούμενος· ὁ συγκατατιθέμενος καὶ μὴ ἀντιλέγων. 15

Svidas (cf. lex. S. quint. p. 259, 4 et Gregor. Corinth. VII 2 p. 1120, 4 W. et lex. S. quart. p. 187, 8): εὐθυδικία· ὅταν εἰσάγηταί τις κριθησόμενος, περὶ ὧν μηδέπω γνῶσις ἐγένετο δικαστηρίου, τοῦτο εὐθυδικία καλεῖται· περὶ ὧν γὰρ κεκρίσθαι τίς φησι, περὶ τούτων παραγράφεσθαι ἐφεῖται. 'οὐκ ἀκούσαντες τῆς 20 εὐθυδικίας, καὶ εἰκότως· οὐ γὰρ ἐπὶ τῷ δικάζειν ἐκάθηντο, ἀλλ' ἐπὶ προσχήματι καὶ προσώπῳ δικαστῶν'.

Lex. s. qvart. p. 187, 3: εὔθυνα· πρὸς τοὺς κακῶς ἄρξαντας ζημία.

Lex. s. qvart. p. 187, 15: Εὐμολπιδῶν γένους εἶναι λέ- 25 γουσι τῶν Εὐμόλπου παίδων.

Lex. s. qvart. p. 188, 10: Εὐρύβατον λέγουσιν ὅτι προδότης γέγονε Κροίσου, ἢ κλέπτης ὢν διὰ τῆς ὀροφῆς ἔφυγεν.

Lex. s. qvint. p. 259, 27 (cf. Suidas s. u. εὐσχήμων): εὐσχήμων· ὁ κόσμιος καὶ πειθόμενος τοῖς νόμοις παρὰ τοῖς ῥήτορσιν, 30 οὐχ ὁ πλούσιος καὶ πολλὰ κεκτημένος.

---

5 *ἢ* Dem., *ἐκ* libri. 6 *ὧν* Dem., *ὡς* libri. *τινες* Dem., *τοῖς* libri.

Gregor. corinth. VII 2 p. 1119, 22 W. (cf. lex. S. quart. p. 186, 9): εἰ δ'.ῥ ἀποψηφισθεὶς ἀπὸ τῶν δήμων εἰς τὸ κοινὸν δικαστήριον μετετίθετο, ἐφιέναι ἐλέγετο, καὶ ἡ μετάθεσις ἔφεσις ὠνομάζετο.

5 Svidas (cf. lex. S. quart. p. 188, 30): ἐφέται· ἄνδρες ὑπὲρ πεντήκοντα ἔτη γεγονότες καὶ ἄριστα βεβιωκέναι ὑπόληψιν ἔχοντες, οἳ καὶ τὰς φονικὰς δίκας ἔκρινον. ἐκαλεῖτο δ' αὐτῶν τὰ δικαστήρια ἐφετῶν.

Svidas (cf. Gregor. Corinth. VII 2 p. 1119, 16 W. et lex. S. 10 quint. p. 312, 31 et lex. S. quart. p. 187, 6): ἐφήγησίς ἐστι δίκη εἰσαγομένη ἐπὶ τοὺς ὑποδεξαμένους τὸν εἰργόμενον ὑπὸ τῶν νόμων ἐπιβαίνειν τῆς χώρας, οἷον φυγάδα ἢ ἀνδροφόνον· ἢ ὅταν τῶν δημοσίων τι κατέχειν δοκῇ τις κρύφα.

Lex. s. qvart. p. 188, 12: Ἐφιάλτης· οὗτος ὑβρισθεὶς ἑαυ- 15 τὸν τῆς βουλῆς ἀπεστέρησε κατακρίνας αὐτήν.

Svidas (cf. lex. S. quart. p. 189, 5): ἐχῖνοι· οἱ μὲν χαλκοῖ, οἱ δὲ ἐκ κεράμου, εἰς οὓς καθιᾶσιν οἱ διαιτηταὶ τὰ γραμματεῖα τῶν μαρτυριῶν, ἅ τινες ἐμαρτύρησαν, καὶ κατασημηνάμενοι μετὰ ταῦτα, εἰ ἐκκληθείη ἡ δίαιτα, τοῖς δικασταῖς ἐπεδίδουν.

20 Lex. s. qvint. p. 261, 9 (cf. lex. S. quart. p. 189, 14): ζηλωτοῦ· καὶ ἐπὶ τοῦ ζηλοῦν καὶ ἐπὶ τοῦ μακαρίζειν ἔταξαν τὸ ζηλωτὸν οἱ ῥήτορες. καὶ ἐπὶ τοῦ μιμεῖσθαι. κέχρηνται δὲ καὶ ἐπὶ τοῦ ἐπαινεῖν τῷ ζηλοῦν.

Svidas s. u. ἡβήσαντες: . . ἐπὶ διέτες ἡβῆσαι λέγεται, 25 ὅταν οἱ ἐπικλήρων υἱεῖς δοκῶσι γεγενῆσθαι ἁρμόδιοι τὰ πατρῷα παραλαμβάνειν. Ἰσαῖός φησιν (fr. 90 Tur.; 25 Thalh.) 'ἡγούμεθα γὰρ ἐκείνῃ μὲν τὸν ἐγγυτάτω γένους δεῖν συνοικεῖν, τὰ δὲ χρήματα τέως μὲν τῆς ἐπικλήρου εἶναι, ἐπειδὰν δὲ παῖδες ἐπὶ διέτες ἡβήσωσιν, ἐκείνους αὐτῶν κρατεῖν'.

26—29 idem locus Isaei legitur p. 187, 7—10 s. u. *τέως*.

---

17 *εἰς οὓς* Bernhardy ex Photio, *εἰς ἃ* libri. 19 *ἐκκληθείη* Hemsterhuis, *ἐγκληθείη* libri. 26. 27 *ἡγούμεθα γὰρ* ex Suida ipso s. *τέως*: *ἐνηγόμεθα μὲν* libri. 29 *ἡβήσωσιν* ex Suida ipso s. *τέως*: *ἡβῶσιν* libri.

Lex. s. quart. p. 189, 22: ἡγεμονία δικαστηρίου· οἱ ἐνάγοντες φονικὰς δίκας.

Lex. s. quint. p. 262, 6: ἤδη· ἐπὶ τῶν τριῶν χρόνων τάσσεται, ἐπὶ τοῦ ἐνεστῶτος καὶ παρεληλυθότος καὶ μέλλοντος.

Lex. s. quint. p. 262, 3: ἥκιστα· ἐναντίον τῷ μάλιστα. σημαίνει δὲ καὶ τὸ οὐδαμῶς παρὰ τοῖς ῥήτορσι καὶ κωμικοῖς. 5

Suidas (cf. lex. S. quart. p. 189, 20): ἡλιαία καὶ ἡλιάζεσθαι· βουλὴ συνεστῶσα ἐξ ἀνδρῶν χιλίων. ἐλέγετο δὲ καὶ ὁ τόπος οὕτως, ἐν ᾧ συνηθροίζοντο. ἡλιάζεσθαι δὲ καὶ ἡλίασις ἐστι τὸ ἐν ἡλιαίᾳ δικάζειν. 10

Lex. s. quint. p. 262, 5: ἠλίθιον· ἀναίσθητον ἢ μάταιον.

Lex. s. quint. p. 263, 15: ἠπίστησαν· ἀντὶ τοῦ ἠπείθησαν.

Suidas (cf. lex. S. quint. p. 263, 13 et lex. S. quart. p. 189, 24): ἤρετο· ἠρώτα, ἔλεγεν, ἠρώτησε. κεῖται δὲ καὶ ἐπὶ τοῦ ἐπαίρεσθαι τῷ φρονήματι. 15

Suidas (cf. lex. S. quint. p. 262, 8): ἠταιρηκώς· ἐπὶ τῆς πορνείας.

Suidas (cf. lex. S. quart. p. 190, 1): θαρραλέον· θάρσος. θρασὺς θαρραλέου διαφέρει, ὅτι ὁ μὲν θρασὺς διαβολὴν ἔχει κακὸς ὤν, ὁ δὲ θαρραλέος ὡς ἀγαθὸς ἐπαινεῖται. Ὑπερίδης 20 φησὶν ἐν τῷ Κυθνιακῷ (fr. 117 Bl.[3]) 'οἱ μὲν θρασεῖς ἄνευ λογισμοῦ πάντα πράττουσιν, οἱ δὲ θαρραλέοι μετὰ λογισμοῦ τοὺς προσπεσόντας κινδύνους ἀνέκπληκτοι ὑπομένουσι'.

Suidas: θεαιδέστατον· θεοῦ ἰδέαν ἔχον. εἶπε δὲ Ἀντιφῶν ἐν τῷ Περὶ ὁμονοίας οὕτως (fr. 108 Bl.[2]; 48 Diels) 'ἄνθρωπος, 25 ὅς φησι μὲν πάντων θηρίων θεαιδέστατον γενέσθαι'.

Suidas (cf. lex. S. quint. p. 265, 9): θέρος· οὐ τὸν καιρὸν οἱ ῥήτορες ἐκάλουν, οἷον χειμῶνα καὶ ἔαρ καὶ θέρος, ἀλλὰ τοὺς συγκομιζομένους καρποὺς τῶν σπερμάτων οὕτω προσηγόρευσαν.

1 s cf. p. 155, 4 ss. 7—10 cf. p. 156, 1—5.

---

9 *οὕτως* Bekker, *οὗτος* libri. 24 et 26 *θεαιδέστατον* Sauppe, *θεειδέστατον* Diels, *θεαιδέστατος* uulgo. 24 *ἔχον* Sauppe, *ἔχων* libri.

Lex. s. quart. p. 189, 31: θέτην· τὸν δανειζόμενον λογάριν ἐπ' οἰκίᾳ ἢ ἀνδραπόδῳ ἢ χωρίῳ.

(= 28 B.) [Ammonius] de differ. affin. uoc. p. 68 Valckenaer[2] (= FHG III p. 341 s): *θεωρὸς καὶ θεατὴς* 5 *διαφέρει· θεωρὸς μὲν γάρ ἐστιν ὁ εἰς θεοὺς πεμπόμενος, θεατὴς δὲ ὁ ἀγώνων καὶ θεάτρων. . . . διαστέλλει οὖν τοῦτο ἐπιμελῶς Λυσιμαχίδης ἐν τῷ πρὸς Κεκίλιον* 69 Valck. *Περὶ | τῶν παρὰ τοῖς Ἀττικοῖς ῥητόρων καὶ πολλῶν παραθέσεις ποιεῖται. . . . καὶ τὸ τοῖς Ἀθηναίοις δι-* 10 *δόμενον θεωρικὸν οὐχὶ διὰ τὰς θέας (ὡς Κεκίλιος ὑπέλαβεν), ἀλλὰ διὰ τὸ ἐν ταῖς ἑορταῖς εἰς τοὺς θεοὺς εὐσεβεῖν καὶ ἐπιθεῖν καὶ εὐφραίνεσθαι.*

a Suidas (cf. lex. S. quart. p. 189, 29): θεωρικὸν καὶ θεωρική· Ἀθήνησιν ἦν χρήματα κοινά, ἃ θεωρικὰ ἐκαλεῖτο, διδό- 15 μενα τοῖς Ἀθηναίοις εἰς διανομήν. προήχθη δὲ οὕτως· τὸ παλαιὸν ὄχλου γενομένου ἐν τοῖς θεάτροις καὶ τῶν ξένων τὰς θέας προκαταλαμβανόντων διεδίδοτο τοῖς πολίταις τὸ θεωρικόν, ὅπερ ἦσαν δύο ὀβολοί, ἵνα τοῦτο λαμβάνοντες οἱ πολῖται διδῶσιν αὐτὸ τῇ πόλει μισθὸν τῆς θέας. ὁ τοίνυν ἐπιμελούμενος τῶν χρη- 20 μάτων τούτων ἄρχων ἐλέγετο τῶν θεωρικῶν. ἦν δὲ καὶ ἄλλα θεωρικά, ἃ διενέμετο ἐν ταῖς ἑορταῖς ἡ πόλις.

Lex. s. quint. p. 265, 11 (apud Suidam lemma nudum): Θριάσιον πεδίον· τόπου ὄνομα. ἐκλήθη δὲ ἀπὸ τῶν βληθεισῶν εἰς αὐτὸ θριῶν ὑπ' Ἀθηνᾶς· θρίαι δέ εἰσιν αἱ μαντικαὶ 25 ψῆφοι. νύμφαι δέ τινες, Θρίαι ὀνομαζόμεναι, ἐξεῦρον τὴν τοιαύτην μαντείαν. ἦσαν δὲ Ἀπόλλωνος τιθηνοί. ὅθεν καὶ τὸ μαντεύεσθαι θριᾶσθαι.

Lex. s. quart. p. 190, 3: θρίπηδον· ἱμάτιον βεβρωμένον.

Suidas: θυλήματα· πέμματα, ἀπαρχάς, ἄλφιτα, ἃ ἔμισγον 30 οἴνῳ καὶ ἐλαίῳ εἰς θυσίαν ἀναφέροντες.

---

1 *λογάριν* 'summam pecuniae', u. Steph. Thes. gr. ling. V 348. 12 *ἐπιθεῖν*] *ἐπιθύειν* coni. Valckenaer non recte, ut Wuensch monet.

Svidas (cf. lex. S. quint. p. 265, 17 et lex. S. quart. p. 190, 4): θωπεία· κολακεία, ἡ περισσὴ πρός τινας κολακεία καὶ τὸ μὴ ἐλευθέρως προσφέρεσθαι τοῖς ὑπερέχουσιν. Ἀντιφῶν ἐν τῷ Περὶ ὁμονοίας (fr. 109 Bl.[2]; 64 Diels) ʻπολλοὶ δ' ἔχοντες φίλους οὐ γινώσκουσιν, ἀλλ' ἑταίρους ποιοῦνται θῶπας πλούτου καὶ τύχης 5 κόλακας'.

Lex. s. qvart. p. 190, 9: ἰαμβοφάγον τὸν πταίοντα λέγουσιν.

Lex. s. qvint. p. 267, 21: ἱεραὶ τριήρεις· Πάραλος, Σαλαμινία, Ἀντιγονίς, Δημητριάς. αὗται ἐπὶ στρατηγοὺς ἐπέμποντο 10 καὶ τοιαύτας τινὰς χρείας.

Svidas s. u. ἱκετεύω (cf. lex. S. quint. p. 267, 15 et lex. S. quart. p. 190, 10): . . ἱκετεία· ἡ ἱκεσία. ἱκετεία δὲ ἱκετηρίας διαφέρει· ἱκετεία μὲν γάρ ἐστιν ἣν ποιεῖταί τις διὰ τῶν λόγων, ὅταν δέηται συγγνώμης τυχεῖν ἢ ἐλέους. Ἀντιφῶν (fr. 77 Bl.[2]) ʻπερὶ 15 τοῦ ⟨μὴ⟩ ἐλεεῖν ὑμᾶς ἐμὲ ἐδεήθη, δείσας μὴ ἐγὼ δάκρυσι καὶ ἱκετείαις πειρῶμαι ὑμᾶς ἀναπείθειν'. ἱκετηρία δέ ἐστιν, ἣν οἱ δεόμενοι κατατίθενταί που ἢ μετὰ χεῖρας ἔχουσιν.

Svidas: ἵνα· ὅπου. Ἀντιφῶν ἐν τῷ Περὶ τῆς ὁμονοίας (fr. 110 Bl.[2]; 55 Diels) ʻὀκνεῖν ἵνα οὐδὲν ἔργον ὀκνεῖν'. 20

Lex. s. qvint. p. 267, 13: ἱππάς· γένος Ἀθήνησιν, οἱ ποιοῦντες τριακόσια μέτρα, οἳ ἀνὰ λόγον τῆς οὐσίας εἶχον τὸ τέλος.

Lex. s. qvint. p. 267, 19: ἴσα βαίνων Πυθοκλεῖ· ἀντὶ τοῦ μετὰ Πυθοκλέους ἀναστρεφόμενος. 25

Svidas: ἰσοτελεῖς· οἱ ἀπὸ τοῦ μετοικεῖν κατά τινα τιμὴν παρὰ τοῦ δήμου γενομένην κατὰ ψήφισμα μεταβαίνοντες εἰς τὸ τῶν δημοποιήτων δίκαιον ἰσοτελεῖς ὠνομάζοντο. ἐγίνετο δὲ τοῦτο τοῖς μετοίκοις ὑπὸ τῆς πόλεως, ὅτε ἔδοξαν εὖ πεποιηκέναι τὸ κοινόν. 30

Svidas: Καλαμίτης· ἢ ἐπὶ τῆς καλάμης τοῦ σίτου, ἢ κύ-

---

16 *μὴ* ante *ἐλεεῖν* add. Bernhardy. 27 *παρὰ* edit. Mediolanensis, *περὶ* libri.

ριον ὄνομα. καὶ Δημοσθένης ἐν τῷ Ὑπὲρ τοῦ στεφάνου (XVIII 129) 'ἐν τῷ κλισίῳ τῷ πρὸς τῷ Καλαμίτῃ ἥρωι'.

Svidas s. u. Καλλίας πτερορρυεῖ (cf. lex. S. quint. p. 275, 6 et lex. S. quart. p. 190, 20): . . . καλλίου· πιθήκου. τὰ δυσχερῆ
5 γὰρ τῶν ὀνομάτων εὐφημότερον εἰώθασιν οἱ Ἀττικοὶ προφέρεσθαι· καὶ τὸν πίθηκον οὖν καλλίαν προσηγόρευσαν. Δείναρχος ἐν τῷ Κατὰ Πυθέου (fr. ₂VI 2 Tur.) 'ἀλλ' οἶμαι ὥσπερ οἱ τοὺς καλλίας ἐν τοῖς οἴκοις τρέφοντες'. τουτέστι πιθήκους. οὕτω δὲ καὶ τὰς Ἐριννύας Εὐμενίδας λέγουσι.

10 Lex. s. qvint. p. 275, 10: καρδιωσάμενοι· τὴν τοῦ θύματος καρδίαν τῇ πιμελῇ καλύψαντες καὶ ἐπιθέντες τῷ πυρί.

Svidas (cf. lex. S. quart. p. 190, 17): καρποῦ δίκη· οἱ γῆς ἀμφισβητοῦντες ὡς προσηκούσης αὐτοῖς λαγχάνουσι τοῖς διακρατοῦσιν· εἶτα ἑλόντες λαγχάνουσι καὶ περὶ ἐπικαρπίας. τοῦτο καρ-
15 ποῦ δίκη καλεῖται.

Svidas (cf. lex. S. quint. p. 275, 12): καταλαβεῖν· εἴρηται καὶ ἐπὶ τάχους ποδῶν τὸ καταλαβεῖν, ὅταν λέγωμεν 'ὁ δὲ τὸν φεύγοντα διώξας κατέλαβεν'. οἱ δὲ ῥήτορες καὶ ἐπὶ τοῦ κολάζειν. Ἀντιφῶν (cf. or. II α 2) 'μὴ ἀναίτιον καταλαβόντες τὸν
20 αἴτιον'.

Svidas (cf. lex. S. quart. p. 190, 24): καταλογεύς· Ἀθηναίων συνεψηφισμένων ἑπτακισχιλίοις τῶν ἀστῶν ἐγχειρίσασθαι τὰ πράγματα τῆς πόλεως, ἦσάν τινες οἱ τοὺς εἰς τοῦτο ἐπιτηδείους καταλέξοντες· καὶ τοῦτο εἰκὸς κληθῆναι καταλογίσασθαι.
25 καὶ καταλογεὺς ὁ εἰς τοῦτο τεταγμένος.

Gregor. corinth. VII 2 p. 1119, 27 W.: προβολῆς δὲ καὶ |
1120 W. καταχειροτονίας τοσοῦτόν ἐστι τὸ διάφορον, ὅτι ἡ μὲν προβολὴ ἐπὶ ἐγνωσμένοις ἐστὶν ἀδικήμασι τοῦ κατηγορουμένου, ἡ δὲ καταχειροτονία ἡ σύμψηφος τοῦ νόμου κατ' ἐκείνου ἀπόφασις.

30 Svidas (cf. lex. S. quint. p. 275, 4): καυχᾷ· οἱ λοιποὶ ῥήτορες ἐπὶ τῆς αὐτῆς ἐννοίας αὐχεῖν λέγουσι. Λυκοῦργος ⟨δ'⟩ ἐν τῷ

---

12 *οἱ γῆς* Gaisford, *οἵ γ'* libri. 24 *εἰκὸς* Bernhardy, *εἰκότως* libri. 31 *δ'* add. Bernhardy et Bekker.

Περὶ μαντειῶν ἐχρήσατο τῇ λέξει (fr. 81 Bl.) 'δεῖ δὲ τἆλλα ἐν δημοκρατίᾳ σοι εἰπεῖν, ἑνὸς δ' οὐκ ἔστι σοι· κακῶς γὰρ αὐτοῦ προέστης. ἐφ' οἷς καυχᾷ, οἱ ἄλλοι αἰσχύνονται'.

Lex. s. qvart. p. 190, 19: κέρκωψ· ὁ δεινὸς ἀπατῆσαι.

Svidas (cf. lex. S. quart. p. 190, 23): κεφάλαιον· ἔνιοι τῶν ῥᾳθύμως ἐντετυχηκότων τοῖς ὑπὸ τῶν δέκα ῥητόρων γραφεῖσι λόγοις τὸ κεφάλαιον οἴονται παρειλῆφθαι ἐπὶ πράγματος καὶ λόγου μόνον, ὡς παρὰ Αἰσχίνῃ ἐν τῷ Κατὰ Κτησιφῶντος (III 240) 'δι' ἔνδειαν μὲν χρημάτων οἱ ξένοι Θηβαίοις τὴν ἄκραν οὐ παρέδοσαν; διὰ δὲ ἐννέα τάλαντα ἀργυρίου πάντων Ἀρκάδων ἐξεληλυθότων, ἡ πρᾶξις οὐ γεγένηται; σὺ δὲ πλουτεῖς καὶ ταῖς ἡδοναῖς ταῖς σαυτοῦ χορηγεῖς. καὶ τὸ κεφάλαιον, τὸ μὲν βασιλικὸν χρυσίον παρὰ τούτῳ'. παρείληπται δὲ καὶ ἐπ' ἀργυρίου τὸ κεφάλαιον, ὡς ὁ Αἰσχίνης ἐν τῷ Κατὰ Κτησιφῶντος (III 104) 'καὶ τόκον ἤνεγκαν Δημοσθένει τοῦ δωροδοκήματος δραχμὴν τοῦ μηνὸς τῆς μνᾶς, ἕως τὸ κεφάλαιον ἀπέδοσαν'.

a Svidas: κεφάλαιον· παραλαμβάνεται ἐπὶ γράμματος καὶ λόγου καὶ ἀργυρίου. οὕτως Αἰσχίνης ἐν τῷ Κατὰ Κτησιφῶντος (III 240 et 104) καὶ Δημοσθένης ἐν τῷ Πρὸς Ἄφοβον (XXVII 7).

Lex. s. qvart. p. 190, 28: κηδεσταί· καὶ οἱ δεδωκότες πρὸς γάμον ἀδελφὰς ἢ θυγατέρας καὶ οἱ λαβόντες.

Lex. s. qvart. p. 190, 16: κιγκλίς· τοὺς δρυφάκτους ἔλεγον κιγκλίδας.

Lex. s. qvart. p. 190, 26: κληρωταὶ ἀρχαὶ πρακτόρων ἐκλογέων καὶ ἀντιγραφέων.

Svidas: κίναδος· εἶδός τι θηρίου, ὡς καὶ Δημοσθένης ἐν τῷ Περὶ τοῦ στεφάνου (XVIII 242) 'τοῦτο δὲ φύσει κίναδός ἐστι τἀνθρώπιον'. πᾶν μὲν θηρίον κίναδος ἀξιοῦσι καλεῖσθαι, ἰδίως δὲ τὴν ἀλώπεκα. 'κακοῦργος ὡς ἀλώπηξ'. ἰδίως δέ φασι Σικελιώτας τὴν ἀλώπεκα κινάδιον καλεῖν.

1—3 Lycurgi uerba corrupta sunt. 12 *σαυτοῦ* Bernhardy ex Aesch., *ἑαυτοῦ* ABV, *σεαυτοῦ* E. 25 *ἀντιγραφέων* tacite J. H. Lipsius *das attische recht u. rechtsverfahren* I 1905 p. 119, 265, *ἀντιγραφή* liber. 29 *πανοῦργος* Bekker.

Svidas s. u. κόβαλος (cf. lex. S. quart. p. 190, 25): . . . κοβαλεία· ἡ παρὰ πονηροῦ ἀνθρώπου κολακεία.

Svidas (cf. lex. S. quint. p. 275, 7): κοροπλάθοι· οἱ τοὺς κόρους πλάττοντες κηρῷ ἢ γύψῳ, τουτέστι τὰ ζῷα πάντα. οἱ
5 κατασκευάζοντες εἴδωλα βραχέα ἐκ πηλοῦ πάντων ζῴων, οἷς ἐξαπατᾶσθαι τὰ παιδάρια εἴωθεν, οὗτος κοροπλάθος καλεῖται.

Lex. s. qvart. p. 190, 21: Κρώβυλος· οὗτος ἔδωκε χρήματα Ἀθηναίοις καὶ ἔσῳσε καταδίκους.

Lex. s. qvart. p. 190, 15: κωλακρέται· οἱ κρατοῦντες δι-
10 καστικὴν ζημίαν.

Svidas (cf. lex. S. quart. p. 191, 3): λειπομαρτυρίου δίκη· τοῖς ἐπισταμένοις τι τῶν πεπραγμένων καὶ μαρτυρήσειν ὑπεσχημένοις ἐν δικαστηρίῳ, εἶτα δὲ ὕστερον ἀποφυγοῦσιν ἐλάγχανον δίκην· κἂν μὲν ἥλωσαν, ἐτιμῶντο κατ' ἀξίαν, εἰ δὲ μὴ
15 ἕλοι ὁ διώκων, πρόστιμον ἐτίθετο δραχμή.

Svidas: Λεωκόριον· τόπος τῆς Ἀττικῆς, ἀπὸ ἱστορίας. ἐλίμωξέ ποτε ἡ Ἀττική, καὶ λύσις ἦν τῶν δεινῶν παιδὸς σφαγή. Λεὼς οὖν τις τὰς ἑαυτοῦ θυγατέρας ἐπιδέδωκε καὶ ἀπήλλαξε τοῦ λιμοῦ τὴν πόλιν· καὶ ἐκ τούτου ἐκλήθη ὁ τόπος Λεωκόριον.

20 Svidas (cf. lex. S. quart. p. 191, 7): ληξιαρχικὸν γραμματεῖον· Ἀθηναίων τῶν ἀστῶν τῶν ἐχόντων ἡλικίαν ἄρχειν ἀναγράφεται τὸ ὄνομα προστιθεμένων τῶν δήμων αὐτοῖς. καὶ ἐξ ἐκείνων τῶν γραμματείων κληροῦσι τὰς ἀρχάς.

de re fusius egit J. Toepffer Hermes XXX 1895 p. 391 ss.

Gregor. corinth. VII 2 p. 1120, 25 W. (cf. Suidas s. u. λῆξιν
25 δίκης et lex. S. quart. p. 191, 5): λῆξις δίκης τὸ καταγγεῖλαι κρίσιν τῶν ἰδιωτικῶν ὑποθέσεων, καὶ λαχεῖν μὲν δίκην τὸ πρώτως κατειπεῖν κτλ.

Svidas (cf. lex. S. quint. p. 277, 33): λιθουργικὴ καὶ λιθοτριβικὴ διαφέρει· ἡ μὲν λιθουργική, ἣν ἐν τοῖς μετάλλοις
30 ἐργάζονται οἱ τέμνοντες τοὺς λίθους· ἡ δὲ λιθοτριβική ἐστιν, ἣν μετίασιν οἱ καταξαίνοντες καὶ κοσμοῦντες τοὺς λίθους, ὥστ' ἀπειληφέναι τὴν εὐπρέπειαν ἕκαστον τῶν ἔργων. Λυσίας ἐν τῷ

Πρὸς Ναυςίαν περὶ τοῦ τύπου (fr. 186 Tur.; 69 Thalh.) 'ἀλλὰ διὰ τὸ τρεῖς τέχνας ἐργάζεςθαι, τήν τε λιθουργικὴν καὶ λιθοτριβικὴν καὶ πρὸς τούτοις τὸ τετρυφηκέναι'.

Lex. s. qvart. p. 191, 9: λυμαινομένου· ἀντὶ τοῦ λυμαίνοντος. 5

Lex. s. qvart. p. 191, 16: μαρτυρίαν ἐμβάλλεςθαι· τὸ προτρέχειν πρὸ καιροῦ μαρτυρῆςαι.

Svidas (cf. lex. S. quart. p. 191, 14): μεςεγγύημα· μεςεγγύημά ἐςτιν, ὅταν οἱ ςυντιθέμενοι πρὸς ἀλλήλους περὶ πραγμάτων τῶν οὐ κατὰ τρόπον οὐδὲ δικαίως ἔςεςθαι μελλόντων, ἢ 10 περὶ ὧν τις βλάβη γενήςεται τῷ κοινῷ τῆς πόλεως, ὑπὲρ τοῦ πραχθῆναι τὰ κατὰ τὰς ςυνθήκας μιςθόν τινα ὁρίςαντες, παρακατατιθῶνται κοινῷ φίλῳ τὸ ἀργύριον, ὅτῳ ἂν ἀμφοτέροις τοῖς μέρεςι δοκῇ, ἂν ἄρα ἐκπραξάμενοι τὰ ςτοιχηθέντα βεβαιώςωςι.

Svidas: μεςεγγυοῦνται· ἐγγυηταὶ γίνονται, ἢ ἐγγυητὰς 15 ποιοῦνται, ὡς καὶ Ἰςοκράτης ἐν τῷ Κατὰ τῶν ςοφιςτῶν (XIII 5).

Lex. s. qvint. p. 281, 22: μεταλλάςςειν· κεῖται καὶ ἐπὶ τοῦ τελευτᾶν βίον παρὰ τοῖς ῥήτορςι καὶ ἐπὶ τοῦ μεταβάλλειν.

Lex. s. qvint. p. 281, 19: μέτοικοι· οἱ καταλιπόντες τὰς αὑτῶν πατρίδας καὶ Ἀθήνηςιν οἰκήςαντες, οἳ καὶ ἐτέλουν μετοί- 20 κιον ἑκάςτου ἔτους δραχμὰς δώδεκα.

Lex. s. qvint. p. 280, 30: μετροῦςιν οἱ Ἀθηναῖοι τὸν μῆνα οὕτως· νουμηνία. εἶτα δευτέρα. εἶτα κατὰ τὴν ςελήνην ἄγουςι τοὺς μῆνας. κατὰ δὲ τῆς ἀπὸ τῆς νουμηνίας ἡμέρας 24 ἱςταμένη ἡ ςελήνη αὔξηςιν λαμβάνει, καὶ προςετίθε|ςαν ἱςταμένου 281 μέχρι ἐνάτης. εἶτα δεκάτη, εἶτα ἑνδεκάτη, εἶτα δωδεκάτη, καὶ τρίτη ἐπὶ δέκα· οὕτω μέχρι τῆς ἐνάτης. εἶτα εἰκάς. εἶτα μία καὶ εἰκάς. ὑςτέρα δεκάτη. καὶ τὴν δευτέραν καὶ εἰκάδα ἐνάτην φθίνοντος κατὰ ὑφαίρεςιν ἀπὸ δεκάτης φθίνοντος ἐκάλουν· φθίνει γάρ. τὴν δὲ ἐνάτην καὶ εἰκάδα ὑςτέραν φθίνοντος, τὴν δὲ 30 ὀγδόην καὶ εἰκάδα τρίτην φθίνοντος, τὴν δὲ ἑβδόμην καὶ εἰκάδα

---

11 *περὶ*] *ἐξ* scr. Bekker. 13 *ὅτῳ* Hemsterhuis, *ὅπως* libri. 14 *ἂν . . τὰ*] *ἐκπραξάμενοι, ἂν ἄρα τὰ* coni. Bernhardy.

τετάρτην φθίνοντος, τὴν δὲ ἕκτην καὶ εἰκάδα πέμπτην φθίνοντος, τὴν δὲ πέμπτην καὶ εἰκάδα ἕκτην φθίνοντος, τὴν δὲ τετάρτην καὶ εἰκάδα ἑβδόμην φθίνοντος, τὴν δὲ τρίτην καὶ εἰκάδα ὀγδόην φθίνοντος. τὴν δὲ τριακάδα ἕνην καὶ νέαν, ὅτι μέρος μέν τι 5 ἔχει τοῦ παρῳχηκότος, μέρος δὲ τοῦ μέλλοντος καὶ ἐνεστῶτος, ὅπερ νέον ἐστίν. ἐξ ἀμφοτέρων οὖν τὸ ὄνομα κέκραται.

Svidas (cf. lex. S. quint. p. 280, 28): μηλόβοτος χώρα· ὑπὸ πολεμίων ἐξερημωθεῖσα, ἣν κατανέμεται τὰ τετράποδα. κεῖται δὲ τοὔνομα καὶ παρὰ τῷ Λυκούργῳ ἐν τῷ Κατ' Αὐτολύκου 10 (fr. 14 Bl.) 'ἀλλὰ καὶ μηλόβοτον τὴν Ἀττικὴν ἀνῆκε'. * 'βουλευομένου δὲ ὅπως τῇ πόλει χρήσηται, Θηβαῖοι μὲν μηλόβοτον ἀνεῖναι συνεβούλευον, Φωκεῖς δὲ ἀντεῖπον σῷσαι' (cf. Isocr. XIV 31).

Lex. s. qvint. p. 281, 16: μῆνες Ἀθηναίων οὗτοι· ἑκατομβαιών, μεταγειτνιών, βοηδρομιών, πυανεψιών, μαιμακτηριών, 15 ποσειδεών, γαμηλιών, * σκειροφοριών.

Svidas (cf. lex. S. quart. p. 183, 5): μορίαι· . . . τῆς δὲ μορίας ἐλαίας ὁ στέλεχος σηκὸς καλεῖται. Λυσίας (VII 11) 'ἄρχοντος σηκὸν ὑπ' ἐμοῦ ἐκκεκόφθαι'.

Svidas: μοχθηρία· ἡ κακία, ὡς Λυκοῦργος ἐν τῷ Κατὰ 20 Λυκόφρονος (fr. 63 Bl.) 'οὐ γὰρ ὅσιον ⟨τὸν⟩ τοὺς ⟨μὲν⟩ γεγραμμένους νόμους, δι' ὧν ἡ δημοκρατία σῴζεται, παραβαίνοντα, ἑτέρων δὲ μοχθηρῶν εἰσηγητὴν ἐθῶν καὶ νομοθέτην γενόμενον, ἀτιμώρητον ἀφεῖναι'.

a Svidas (cf. lex. S. quint. p. 281, 24): μοχθηρός καὶ μόχ-25 θηρος προπαροξυτόνως· ἐπίπονος ἢ πονηρός· παρὰ δὲ ῥήτορσιν ὁ κακὸς ὑπείληπται, καὶ μοχθηρία ἐπὶ τῆς κακίας τέτακται. οὕτω Δείναρχος (fr. LXXXIX 22 Tur.). Ἀντιφῶν δὲ ὁ παλαιότατος τῶν ῥητόρων τῷ μὲν μοχθηρῷ ἐχρήσατο οὐκ ἐπὶ τοῦ κακοῦ ἀνδρὸς καὶ εἰσαγομένου εἰς δικαστήριον ἵνα κατηγορηθῇ,

---

9 *Αὐτολύκου* Osann, *Αὐτοκλέους* libri. 10 post *ἀνῆκε* nonnulla excidisse uidentur. 11 *Θηβαῖοι* Kuester, *Ἀθηναῖοι* libri. 15 lacunam indicaui auctore Wuenschio. 17 *ἐλαίας* dubitanter Boysen l. s. p. 23, *μορίας ἐκείνης ὁ στέλεχος* E, *μορίας τοῦ στελέχου* ABV. 20 *τὸν* add. Bernhardy. *μὲν* add. idem. 22 *εἰσηγητὴν* Cobet, *ἐξηγητὴν* libri. *γιγνόμενον* scr. Blass.

ἀλλ' ἐπὶ πατρὸς δίκην λαχόντος ὑπὲρ ἀπεσφαγμένου παιδὸς τὸν μοχθηρὸν ἔταξε· καί φησιν οὕτως ἐν Προοιμίοις καὶ Ἐπιλόγοις (fr. 70 Bl.[2]) 'κἀγὼ μὲν ὁ μοχθηρός, ὅντινα ἐχρῆν τεθνηκέναι, ζῶ τοῖς ἐχθροῖς κατάγελως'.

[Svidas: ναυμάχιον· ὡς τοῦ μὴ στρατεύεσθαι καὶ τοῦ λιπεῖν τὴν τάξιν καὶ τοῦ τὰ ὅπλα ἀποβαλεῖν ζημίαι ἦσαν ὡρισμέναι ἐκ τῶν νόμων, οὕτως καὶ τοῦ μὴ ναυμαχῆσαι. τοῦτο τὸ ὄφλημα ναυμάχιον ἐκαλεῖτο.] 5

Svidas (cf. lex. S. quint. p. 298, 2): νέμειν προστάτην· ἀντὶ τοῦ ἔχειν προστάτην. τῶν γὰρ μετοίκων ἕκαστος μετὰ 10 προστάτου τῶν ἀστῶν τινος τὰ πράγματα αὐτοῦ διῴκει καὶ τὸ μετοίκιον κατετίθει. καὶ τὸ ἔχειν προστάτην καλεῖται νέμειν προστάτην. Ὑπερίδης (fr. 21 Bl.[3]) 'ὥστε κελευστέον τοὺς μαρτυροῦντας τὰ τοιαῦτα καὶ τοὺς παρεχομένους ⟨μὴ⟩ μάτην ἀπατᾶν ὑμᾶς, ⟨ἐὰν⟩ μὴ τυγχάνωσι δικαιότερα λέγοντες· καὶ νόμον 15 ὑμῖν ἀναγκάζετε παρέχεσθαι, τὸν κελεύοντα μὴ νέμειν προστάτην'.

Lex. s. qvart. p. 191, 21: νομοφύλακες· οὗτοι ἐκώλυον παράνομόν τι ἢ ἀσύμφορον τῇ πόλει γενέσθαι.

Svidas: ξυλλαβεῖν· διττή ἐστιν ἡ χρῆσις τοῦ συλλαβεῖν παρὰ τοῖς ἀρχαίοις· πρὸς γὰρ διάφορον κλίσιν διάφορος καὶ ἡ 20 διάνοια. ἐὰν μὲν γὰρ πρὸς αἰτιατικὴν ἡ σύνταξις ᾖ, ἔχθραν καὶ δυσμένειαν παρίστησι τοῦ συλλαμβάνοντος, κακουργίαν δὲ τοῦ συλλαμβανομένου, ὡς νῦν 'ξυλλαβεῖν τὸν ἄνδρα'. καὶ Δημοσθένης ἐν τῷ Κατὰ Μειδίου (XXI 116) 'οὐχὶ συλληψόμεθα αὐτόν;' ἐὰν δὲ πρὸς δοτικήν, σημαίνει φιλίαν καὶ συμμαχίαν, ὡς Ἰσοκράτης 25 ἐν ταῖς Παραινέσεσιν (I 3) 'ὁρῶ δὲ καὶ τὴν τύχην ἡμῖν συλλαμβάνουσαν' ἴσον τῷ συναγωνιζομένην. ἐπάγει γοῦν 'καὶ τὸν παρόντα καιρὸν συναγωνιζόμενον'. καὶ Δημοσθένης πρώτῳ Φιλιππικῶν.

---

5 et 8 *ναυμάχιον* libri, sed *ἀναυμάχιον* corrigendum est; cf. supra (p. 143, 16—19) u. *ἀναυμαχίου*, ubi plane eadem leguntur. itaque apparet errore glossam de superiore loco huc translatam esse. 11 *διῴκει* Kuester, *συνῴκει* libri. 14 *μὴ* add. Coraes. 15 *ἐὰν* add. Sauppe; Blass hoc modo locum sanare uult: *ὑμᾶς, ⟨ἀλλ' ἀποδεικνύναι ὅτι⟩ τυγχάνουσι.* 16 *ὑμῖν* Coraes, *ἡμῖν* libri.

Svidas s. u. οἷος: . . οἷος ἦν· ἀντὶ τοῦ ἕτοιμος ἦν. τίθεται δὲ καὶ ἀντὶ τοῦ ἐσπούδαζε. Λυσίας (fr. 159 Tur.; 62 Thalh.) 'ἐβιάζετό τε γὰρ καὶ οἷος ἦν ἐξευρεῖν τὴν θύραν'. σημαίνει δὲ καὶ τὸ ἀνταποδοτικόν· 'τοιοῦτος, οἷος ἦν ὁ πατήρ'.

5 Svidas (cf. lex. S. quint. p. 285, 5 et lex. S. quart. p. 192, 9): ὀκνῶ· φοβοῦμαι. καὶ πυκνῶς τούτῳ κέχρηται Σοφοκλῆς ἐπὶ τοῦ φοβεῖσθαι (Ai. 82)

φρονοῦντα γάρ νιν οὐκ ἂν ἐξέστην ὄκνῳ.

καὶ οἱ ῥήτορες οὐκ ἐπὶ δειλίας καὶ ῥᾳθυμίας ἐχρήσαντο τῷ ὀνό-
10 ματι, ἀλλ' ἐπὶ τοῦ φόβου καὶ τοῦ φοβεῖσθαι. Ἀντιφῶν (fr. 139 Bl.[2]; 56 Diels) 'κακὸς δ' ἂν ⟨εἴη⟩, εἰ ⟨ἐπ'⟩ ἀποῦσι μὲν καὶ μέλλουσι τοῖς κινδύνοις τῇ γλώττῃ θρασύνεται καὶ τῷ θέλειν ἐπείγει, τὸ δὲ ἔργον ἂν παρῇ, ὀκνεῖ'. καὶ Δημοσθένης ἐν Φιλιππικῶν πρώτῳ (I 17) 'φημὶ δὴ διχῇ βοηθητέον εἶναι τοῖς πράγμασιν
15 ὑμῖν, τῷ τε τὰς πόλεις τοῖς Ὀλυνθίοις σῴζειν καὶ τοὺς τοῦτο ποιήσοντας στρατιώτας ἐκπέμπειν, καὶ τῷ τὴν ἐκείνου χώραν κακῶς ποιεῖν καὶ τριήρεσι καὶ στρατιώταις ἑτέροις. εἰ δὲ θατέρου τούτων ὀλιγωρήσετε, ὀκνῶ μὴ μάταιος ὑμῖν ἡ στρατεία γένηται'. καὶ Ὁμήρῳ δὲ ἐπὶ τοῦ φόβου ὁ ὄκνος τέτακται. φησὶ γὰρ
20 Ἀγαμέμνων περὶ τοῦ ἀδελφοῦ αὐτοῦ (K 122)

οὔτ' ὄκνῳ εἴκων οὔτ' ἀφραδίῃσι νόοιο.

Svidas (cf. lex. S. quint. p. 285, 3): ὀλιγαρχούμενοι· ὑπὸ ὀλίγων ἀρχόμενοι. τρεῖς εἰσι πολιτεῖαι, βασιλεία, ὀλιγαρχία, δημοκρατία.

25 Svidas (cf. lex. S. quint. p. 285, 1 et lex. S. quart. p. 192, 7): ὁμοῦ· ἐγγύς. . . . . Δημοσθένης τῷ ὁμοῦ ἀντὶ τοῦ ἐγγὺς κέχρηται ἐν τῷ Κατὰ Ἀριστογείτονος (XXV 51) 'εἰσὶν ὁμοῦ δισμύριοι χιλιάδες Ἀθηναίων'. ἔνθα γὰρ βούλεται δηλοῦν, ὅτι ἐγγὺς τῶν δισμυρίων εἰσίν, ἐπεὶ ὅτι γε οὐκ ἦσαν δισμύριοι φανερόν. Ἰσαῖος
30 δὲ τὸ ὁμοῦ ἐπὶ χρόνου ἔταξεν ἐν τῷ Πρὸς Δωρόθεον (fr. 34 Tur.; 9 Thalh.) 'ἐς τοσοῦτον πονηρίας ὁμοῦ καὶ τόλμης ἐλήλυθε' καὶ ἐν τῷ Πρὸς Καλλικράτην (fr. 75 Tur.; 19 Thalh.) 'οὐ μὴν ἀλλὰ τούτου πάντα ὁμοῦ ταῦτα ἐπιτάξοντος'. Λυσίας δὲ ἐπὶ τόπου τοῦτο ἔταξεν ἐν τῇ Πρὸς Μετάνειραν ἐπιστολῇ (fr. 256 Tur.;

---

11 *εἴη* et *ἐπ'* add. Diels. 12 *ἐπείγει* Blass, *ἐπείγειν* libri.

112 Thalh.) 'γυναικῶν δὲ πολλῶν καὶ ἀνδρῶν ὁμοῦ κατακειμένων'. καὶ Ὅμηρος ἐπὶ τόπου. Πάτροκλος γὰρ λέγει (Ψ 83—84)

μὴ ἐμὰ σῶν ἀπάνευθε τιθήμεναι ὀστέ', Ἀχιλλεῦ,
ἀλλ' ὁμοῦ, ὡς ἐτράφημεν ἐν ὑμετέροισι δόμοισι.

SVIDAS: ὀξυθύμια· ὅσα καθαίροντες τὰς οἰκίας Ἀθηναῖοι νύκτωρ ἔθος εἶχον ἐν ταῖς τριόδοις τιθέναι, ταῦτα ὀξυθύμια ἐλέγετο. 5

LEX. S. QVART. p. 191, 27: ὀργεῶνές εἰσιν οἱ κοινωνοῦντες ἀλλήλοις θεῶν ἢ ἡρώων ἐν ἱεροῖς καὶ κοινῇ θυηπολοῦντες, ὡς Χάρης λέγει ἐν τῷ Κατὰ Διονυσίου. καὶ πάλιν ὀργεῶνες τίνες, 10 ἐν Ἀπολογίᾳ ὕβρεως σαφὲς ποιεῖ. οὗτοί εἰσιν οἱ τοῖς ἰδίᾳ ἀφιδρυμένοις θεοῖς ὀργιάζοντες καὶ τῶν ἱερῶν δὲ κρίνοντες ὀργεῶνας ἑαυτοὺς ἀλλήλους ἐκάλουν.

LEX. S. QVART. p. 192, 5: ὅρον ἐπιθεῖναι χωρίῳ· τοῦ δανεισαμένου τὸ ὄνομα ἐγράφετο εἰς σανίδα καὶ ἐκρεμᾶτο ἐπὶ τοῦ 15 ἀγροῦ.

LEX. S. QVART. p. 192, 1: οὐσία· ὅταν μὴ σῴζωσί τινες τοὺς καρποὺς ἀποδοῦναι, ἐκ πάσης αὐτοὺς τῆς οὐσίας ἀπαιτοῦνται.

SVIDAS (cf. lex. S. quint. p. 298, 10 et Pollux II 17): παιδάριον· οὐ μόνον ἐπὶ τῶν ἀρρένων κέχρηνται τῷ ὀνόματι οἱ 20 ῥήτορες, ἀλλὰ καὶ ἐπὶ παρθένων. Ὑπερίδης ἐν τῷ Πρὸς Τιμάνδραν (fr. 164 Bl.[3]) 'καταλειφθέντων γὰρ τούτων, δυοῖν ἀδελφοῖν καὶ δυοῖν ἀδελφαῖν, ὀρφανῶν καὶ πρὸς πατρὸς καὶ πρὸς μητρὸς καὶ παιδαρίων [παίδων]'.

SVIDAS: παλαιόν· οἱ ῥήτορες ἐχρήσαντο τῷ παλαιῷ ἐπὶ 25 ἀργυρίου ἐκ δανείσματος ὀφειλομένου. οὕτως Λυσίας ἐν τῷ Πρὸς Ἀλκίβιον (fr. 13 Tur.; 6 Thalh.) 'καίτοι εἰ ἀποδεδώκει τῷ Κτησικλεῖ τὰς πεντήκοντα παλαιάς, ὥσπερ οὗτός φησι'.

---

10 *Χάρης*] ‚cf. Aesch. II 71' Wuensch. 12 *δὲ κρίνοντες* estne corruptum? 21. 22 *Τιμάνδραν* Hemsterhuis, *Τίμανδρον* libri. 22. 23 *καταλειφθέντων* . . *δυοῖν* (*δυοῖν* iam apud Bekkerum) *ἀδελφαῖν*, *ὀρφανῶν* Blass, *καταλλαχθέντων* . . *δυαῖν ἀδελφαῖν*, *ὀρφαναῖν* libri. 24 *παίδων* del. Blass. 25 *τῷ παλαιὸν* Gaisford ex Phot. 28 *τὰς* om. libri praeter C.

Lex. s. quart. p. 193, 10: παλαμναῖος· ὁ δαίμων ὁ τὰ μύση καὶ τὰ μιάσματα ἀποτρέπων.

Suidas (cf. Gregor. Corinth. VII 2 p. 1120, 7 W.): παραγραφή· ὅταν λέγῃ τις ὅτι τὸ πρᾶγμα, περὶ οὗ τὸ ἔγκλημά ἐστιν,
5 εἰσήχθη πρότερον εἰς δικαστήριον καὶ γεγένηται περὶ αὐτοῦ γνῶσις, καὶ διὰ τοῦτό φησι μὴ δεῖν ἔτι περὶ αὐτοῦ συνίστασθαι κρίσιν· μάλιστα δὲ τοὺς νόμους ἀναγινώσκει τοῖς δικασταῖς, οἳ πλεονάκις δικάζεσθαι περὶ τῶν αὐτῶν οὐ συγχωροῦσι, λέγει δὲ περὶ αὐτοῦ τοῦ πράγματος ἅμα, τοῖς δικασταῖς παραδεικνύς, ὡς
10 οἱ πάλαι δικάσαντες καὶ δικαίως καὶ κατὰ τοὺς νόμους ἐψηφίσαντο, καὶ τοῦτό ἐστι παραγραφή. καὶ ἐπ' ἐκείνῃ τῇ δίκῃ, περὶ ἧς οὐδὲν ὥρισται παρὰ τοῖς νόμοις, οὐδὲ ἔστιν αὐτὴν ὁ εἰσάξων, ὥσπερ καὶ τὰς ἄλλας δίκας· τῶν γὰρ ἄλλων δικῶν προστέτακται ἑκάστῳ τῶν ἐν ταῖς ἀρχαῖς εἰσάγειν τινά. παρα-
15 γράφεσθαι οὖν ἐφεῖται καὶ τοῖς τοσοῦτόν τι ἐγκαλουμένοις, περὶ οὗ οὐ νενομοθέτηται.

Lex. s. quart. p. 192, 15: παρακαταβαλεῖν· τὸ διδόναι ἐγγύας, ὅτι δικαίως ἀπαιτεῖ.

Lex. s. quart. p. 193, 6: παραλογίζεσθαι· ἐξαπατᾶν.

20 Lex s. quart. p. 193, 8: παρανόμων γραφή· ὅτε ἁλῷ τις προαμαρτήσας καὶ κατακριθῇ θανάτῳ.

Lex. s. quart. p. 192, 25: παράσημος ῥήτωρ· ὁ νόθος, ἀπὸ τοῦ νομίσματος.

Suidas (cf. lex. S. quint. p. 298, 13): παραφρυκτωρευό-
25 μενος· οἱ κακουργοῦντες περὶ τὰς φυλακὰς καὶ φρυκτοὺς ἀνατείνοντες ἐναντίους τοῖς πεπιστευκόσι τὴν φυλακὴν [καὶ] ἐπὶ τῷ συμφέροντι τῶν ἀντικαθεζομένων παραφρυκτωρεύεσθαι λέγονται, ὥς φησι Λυσίας (XIII 67) 'τούτων εἷς ὁ πρεσβύτερος ἐν

---

7 δὲ] δ' εἰ coni. Radermacher. *ἀναγινώσκει* ex Photio Bernhardy, *ἀναγινώσκειν* libri. 10. 11 *ἐψηφίσαντο* dubitanter Bernhardy, *ψηφίσαντες* libri. 12 *οὐδὲ ἔστιν* Bekker, postquam iam Bernhardy in eo offendit, quod libri praebent: *οὐδὲ ἔνεστιν*. 26 *καὶ* secl. Bernhardy ex Suida s. u. *φρυκτός*. 28 *πρεσβύτερος* Bernhardy, *πρεσβύτης* libri.

Cικελίᾳ παραφρυκτωρευόμενος τοῖς πολεμίοις ληφθεὶς ὑπὸ Λαμάχου ἀπετυμπανίσθη'.

Svidas: παρρησία· .. οἱ ῥήτορες τῇ παρρησίᾳ κατεχρήσαντο ἐπὶ τῶν ὀνειδίζειν μελλόντων τοὺς ἀκούοντας, ὅταν οἱ διαλεγόμενοι τῶν οὐ δεόντως ποτὲ πεπραγμένων μνημονεύωσιν, 5 ὡς Αἰσχίνης ἐν τῷ Κατὰ Τιμάρχου (I 172) 'Νικόδημος δὲ ὑπὸ Ἀρισταγόρου τετελεύτηκε βιαίῳ θανάτῳ, ἐκκοπεὶς ὁ δείλαιος ἀμφοτέρους τοὺς ὀφθαλμοὺς καὶ τὴν γλῶτταν ἐκτμηθείς, ᾗ ἐπαρρησιάζετο πιστεύων τοῖς νόμοις'. καὶ ἐν τῷ Περὶ παραπρεσβείας (II 70) 'προῄρημαι δὲ παρρησιάσασθαι καὶ ἐλευθέρως ἅμα 10 καὶ τἀληθῆ εἰπὼν σῴζεσθαι'.

Svidas (cf. lex. S. quint. p. 298, 5 et lex. S. quart. p. 193, 5): Παταικίων· ἀνὴρ ἀπὸ συκοφαντίας τὸν βίον ποιούμενος καὶ προσκρούειν ἐπιτηδεύων τοῖς εὐδοκιμοῦσι τῶν νέων. διεβάλλετο δὲ καὶ ὡς κλέπτης καὶ τοιχωρύχος, ὥστε καὶ κωμῳδεῖσθαι ἐπὶ 15 τούτοις.

Svidas (cf. lex. S. quint. p. 297, 30): πατρῷων· πατρῷα λέγουσιν οἱ ῥήτορες, ὅταν αὐτοῖς ὁ λόγος ᾖ περὶ χρημάτων ἢ τόπων. Ἰσαῖος (fr. 26 Tur.; 6 Thalh.) 'ἀποφανῶ γὰρ ὑμῖν, ὡς οὐκ ἔστι τῆς ἐπικλήρου τὸ χωρίον τοῦτο οὐδ' ἐγένετο πώποτε, 20 ἀλλ' ὡς ἦν πατρῷον Λυσιμένει τῷ πατρὶ Μενεκράτους· ὁ δὲ Λυσιμένης ἔσχε τὰ πατρῷα πάντα'. πάτρια δὲ λέγουσι τὰ ἔθη καὶ τὰ νόμιμα καὶ τὰ μυστήρια καὶ τὰς ἑορτάς. Ἀντιφῶν (fr. 78 Bl.[2]) 'τοῦτο δὲ τοὺς νόμους εἰδὼς πατρίους καὶ παλαιοὺς ὄντας ὑμῖν'. πατρικὸν δέ, ὅταν περὶ προσώπου ποιῶνται τὸν 25 λόγον. 'καὶ τούτων ἀξιωθεὶς διὰ τὸ πατρικὸς αὐτῷ φίλος εἶναι' Αἰσχίνης ἐν τῷ Κατὰ Κτησιφῶντος (III 52).

Lex. s. quint. p. 298, 1: πείσεται· σημαίνει καὶ τὸ πείθεσθαι καὶ τὸ πάσχειν.

Lex. s. quint. p. 297, 21 (cf. lex. S. quart. p. 192, 30): 30 πεντηκοστεύονται καὶ τὸ πεντηκοστευόμενον· τῶν εἰσαγομένων εἰς τὸν Πειραιᾶ φορτίων καὶ ἀνδραπόδων ἐκ τῆς

7 *Ἀριστάρχου* Aesch. 13 *Πατταικίων* plerique libri, corr. Bekker; cf. Def. tab. Att. ed. Wuensch (= CIA Append.) 55 et 81. 19 *ἀποφανῶ* Scheibe, *ἀποφαίνω* libri.

ἀλλοδαπῆς πεντηκοστὴν ἐτέλουν οἱ ἔμποροι. καὶ τοῦτο ἐκαλεῖτο πεντηκοστεύεσθαι. καὶ αὐτοὶ δὲ οἱ τὸ τέλος εἰσπράττοντες πεντηκοστολόγοι καλοῦνται.

Svidas: πεπορπημένος· ἱμάτιον διπλοῦν περικείμενος 5 πόρπῃ συνεχόμενον, ὡς μὴ ἀφίστασθαι τῶν ὤμων. κεῖται παρὰ Λυκούργῳ ἐν τῷ Κατὰ Λεωκράτους (40) 'τῶν δ' ἀνδρῶν τοὺς τοῖς σώμασιν ἀπειρηκότας καὶ ταῖς ἡλικίαις πρεσβυτέρους καὶ ὑπὸ τῶν νόμων τοῦ στρατεύεσθαι ἀφειμένους ἰδεῖν ἦν καθ' ὅλην τὴν πόλιν τότ' ἐπὶ γήρως ὀδῷ περιφθειρομένους, διπλᾶ 10 ἱμάτια ἐμπεπορπημένους'.

Lex. s. qvart. p. 192, 32: περὶ Κόδρου· οἱ Πελοποννήσιοι 193 πολεμοῦντες 'Αθη|ναίοις ἔλαβον χρησμὸν μὴ ἀποκτεῖναι Κόδρον τὸν βασιλέα. οἱ δὲ πρὸ τοῦ τείχους φρυγανιζόμενον ἀπέκτειναν καὶ ἀπέτυχον τῆς νίκης.

15 Lex. s. qvart. p. 192, 19: περὶ τῶν ἕνδεκα· οὗτοι τεταγμένοι ἦσαν ἐπὶ τῶν κατακριθέντων θανάτῳ.

Svidas (cf. lex. S. quint. p. 298, 11): πλεονεξία· παρὰ τοῖς ῥήτορσιν οὐ μόνον ἐπὶ τῶν παρὰ τὸ δίκαιον ἀξιούντων πλέον ἔχειν, καὶ τὸ πλεονεκτεῖν, ἀλλὰ καὶ ἐπὶ τοῦ βελτίονος ἑκά- 20 τερον αὐτῶν ἔταξαν, ὅταν τοῦ ἀγαθοῦ πλέον ἔχῃ τις ἑτέρων. Σοφοκλῆς (Oed. R. 380—382)

ὦ πλοῦτε καὶ τυραννὶ καὶ τέχνη τέχνης
ὑπερφέρουσα τῷ πολυζήλῳ βίῳ,
ὅσος παρ' ὑμῖν ὁ φθόνος φυλάσσεται.

25 Svidas: πραγματεία· οὐχ ὡς ἐν τῇ συνηθείᾳ ἐπὶ τῆς πραγματείας, οὕτω καὶ ὑπὸ τῶν ῥητόρων τέτακται ἐπὶ τῶν ἐργασίας τινὰς μεταχειριζομένων, ἀλλ' ἐπὶ τῶν πράγματα συνίστασθαι ἐπιχειρούντων, ὡς Δείναρχος ἐν τῷ Κατὰ Μενεσαίχμου

25 s ad uerba *ἐν τῇ συνηθείᾳ . . τέτακται* cf. Diels l. s. p. XXVIII.

---

4 *περικείμενος* Bernhardy, *περικείμενον* libri. 6 *Λεωκράτους* Maussacus, *Τιμοκράτους* libri. 21—24 hoc exemplum nihil facere ad u. *πλεονεξία* Kuester monet. 28 *Μενεσαίχμου* Bernhardy, *μεναίχμου* libri.

(fr. LXXXVII Tur.) 'αἱ γὰρ ἀπὸ τῶν κοινῶν ἔχθραι καὶ πραγματεῖαι αἰτίαι τῶν ἰδίων διαφορῶν καθεστήκασι'.

Svidas: πραττομένους· ἀπαιτουμένους. Ἰσοκράτης (XIII 7) 'καὶ τοὺς μαθητὰς μικρὸν πραττομένους'. 'πραττόμενος δὲ τοὺς τῶν πλοίων κυρίους, τέλους δὲ οὐδενὶ αἴσθησιν παρεχόμενος'. 5

Svidas: πρέσβεις ⟨παροξυτόνως⟩, πρέσβεως προπαροξυτόνως. οὐχὶ δὲ ἀπὸ τῆς πρεσβεύς εὐθείας· οἱ γὰρ λέγοντες ἁμαρτάνουσι. λέγεται δὲ καὶ πρέσβεων καὶ πρεσβευτῶν ἑκατέρως παρὰ τοῖς ῥήτορσιν. ἔστι δὲ τὸ μὲν καθωμιλημένον καὶ Ἑλληνικὴν ἀναλογίαν σῷζον, ὅταν εἴπωσι πρέσβεις, εὑρίσκομεν δὲ καὶ πρεσβευτάς. 10

Lex. s. qvart. p. 192, 26: προδανειστής· ὁ ἀντὶ τοῦ δανειζομένου γραφόμενος τὴν ὁμολογίαν.

Svidas (cf. lex. S. quart. p. 186, 21): προδικασία· οἱ τὰς ἐπὶ φόνῳ δίκας ἐγκαλούμενοι ἐν πρυτανείῳ πρὸ τῆς δίκης διατελοῦσιν ἐπὶ τρεῖς μῆνας, ἐν οἷς ἐξ ἑκατέρου μέρους λόγοι προάγονται. τοῦτό φασι προδικασίαν. 15

Lex. s. qvart. p. 193, 12: πρὸ Εὐκλείδου· ἄρχων ἦν οὗτος, καὶ πρὸ αὐτοῦ ἐπολιτεύοντο καὶ οἱ τυχόντες.

Svidas (cf. lex. S. quart. p. 192, 28): Προηρόσια· αἱ πρὸ τοῦ ἀρότου γινόμεναι θυσίαι περὶ τῶν μελλόντων ἔσεσθαι καρπῶν, ὥστε τελεσφορεῖσθαι. ἐγένετο δὲ ὑπὸ Ἀθηναίων ὑπὲρ πάντων Ἑλλήνων πέμπτῃ ὀλυμπιάδι. Λυκοῦργός φησιν ἐν τῷ Κατὰ Μενεσαίχμου (fr. 84 Bl.) 'καὶ γὰρ νῦν πολλὰς καὶ μεγάλας ὑμῖν τιμὰς ὀφείλω· καὶ ζηλῶ παρὰ πᾶσιν Ἕλλησι μαντευομένοις τὸν Δία προηροσίαν ποιήσασθαι'. 20 25

Svidas (cf. lex. S. quart. p. 193, 7): προκαταβολὴ καὶ προσκατάβλημα· τῶν τελῶν πιπρασκομένων δύο προθέσεις ἐδίδοντο τοῖς ὠνουμένοις, ἐν αἷς ἐχρῆν εἰσενεχθῆναι τὸ ἀργύριον. ὅπερ οὖν μέρος χρημάτων, πρὶν ἄρξασθαι τοῦ ἔργου, εἰσφέρουσιν

---

6 *πρέσβεις ⟨παροξυτόνως⟩* Radermacher, *πρέσβις* libri. 19 *Προηρόσια* Sauppe, *Προηροσίαι* libri. 20 *ἀρότου* Meursius, *ἀρότρου* libri. 23—25 ‚uerba Lycurgi corruptissima' Blass.

εἰς τὸ δημόσιον, τοῦτο προκαταβολὴ καλεῖται, τὸ δὲ τῇ δευτέρᾳ προθεσμίᾳ διδόμενον προσκατάβλημα.

SVIDAS: προμετρητής· ὁ τοὺς πιπρασκομένους πυροὺς ἐν τῇ ἀγορᾷ καὶ τῶν ἄλλων σπερμάτων ἕκαστον διαμετρῶν καὶ [ὁ] 5 τούτου τοῦ ἔργου μισθὸν λαμβάνων προμετρητὴς ἐκαλεῖτο. Δείναρχος (fr. XVI 4 Tur.) 'ὁ Σκύθου τοῦ προμετρητοῦ υἱὸς ἐν δημόταις γέγονε καὶ ὁ αὐτὸς ἐν τῇ ἀγορᾷ προμετρῶν διατετέλεκε καὶ ὑμεῖς ἐκλαβόμενοι παρ' αὐτοῦ τοὺς πυροὺς διατελεῖτε'.

LEX. S. QVART. p. 192, 22: προσμῖξαι πρὸς τὴν χώραν· 10 εἴ τις φεύγει φόνον ἑκούσιον καὶ ὡς ἑκουσίως φονεύσας λέγει τοῦτο μὴ τολμᾶν.

LEX. S. QVINT. p. 298, 7: πρόσοδος· κεῖται καὶ ἐπὶ χρημάτων τῶν παρὰ τῶν ὑπηκόων ἢ καρπῶν ἢ τόπων τοῖς ἰδιώταις καὶ ἐπὶ τοῦ προσελθεῖν πρὸς τὸν δῆμον ἢ πρὸς ἄλλον τινά.

15 SVIDAS: προὔκειτο καὶ προὔθεντο· ἐπὶ τῶν τετελευτηκότων χρῶνται τῇ λέξει οἱ ῥήτορες, τῶν πρὸ τοῦ τεθάφθαι κειμένων ἐπὶ τῆς οἰκίας παρόντων τῶν οἰκείων. Λυσίας ἐν τῷ Πρὸς Γλαύκωνα (fr. 64 Tur.; 23 Thalh.) 'καὶ μὲν δὴ οὐδὲ τοῦτο ἂν ἔχοι Γλαύκων εἰπεῖν ἢ ἄλλος τις τῶν Δικαιογένους συγγε-20 νῶν, ὡς, ὅτε μὲν προὔκειτο, ὤκνουν καὶ ᾐσχύνοντο λόγους περὶ αὐτοῦ ποιεῖσθαι, ἐξενεχθέντος δὲ ἢ περὶ τῶν χρημάτων τινὰ μνείαν εἴχετε ἢ τὰς θυγατέρας ἠξιοῦτε διαιτᾶσθαι;'

SVIDAS: Προχαριστήρια· ἡμέρα, ἐν ᾗ οἱ ἐν τῇ ἀρχῇ πάντες, ἀρχομένων καρπῶν φύεσθαι, λήγοντος ἤδη τοῦ χειμῶνος, 25 ἔθυον τῇ Ἀθηνᾷ· τῇ δὲ θυσίᾳ ὄνομα Προχαριστήρια. Λυκοῦργος ἐν τῷ Περὶ τῆς ἱερωσύνης (fr. 50 Bl.) 'τὴν τοίνυν ἀρχαιοτάτην θυσίαν διὰ τὴν ἄνοδον τῆς θεοῦ, ὀνομασθεῖσαν δὲ Προχαριστήρια, διὰ τὴν βλάστησιν τῶν καρπῶν τῶν φυομένων'.

---

4 *ὁ* del. Bernhardy. 8 *ἐκλαμβανόμενοι* Bernhardy. uerba *καὶ — διατελεῖτε* non, ut Suidae editores contendunt, ex Harpocratione hausta sunt, 'sed cum Bekkerus in libris suis non inuenerit, ex Suidae tantum loco uidentur ab editoribus in Harpocrationis glossam translata esse' Sauppe OA II 332ᵃ 32. 22 *εἴχετε . . ἠξιοῦτε* Sauppe, *ἔχετε . . ἀξιοῦτε* libri. 25 *Ἀθηνᾷ* falsum; *Κόρῃ* dicendum fuisse Sauppe contendit. 28 *φυομένων* ⟨*ἀγομένην*⟩ coni. Sauppe.

Lex. s. qvart. p. 192, 17: πρυτανεῖα· πρόcοδοc τοῦ δημοcίου, ὅταν ἀπὸ ζημίαc τοῦ δικαζομένου γένηται.

Svidas (cf. lex. S. quint. p. 297, 27): πυνθάνεcθαι· ἀκούειν, μανθάνειν, διδάcκεcθαι, ἱcτορεῖν, ἐρωτᾶν ἢ ἕτερόν τι cημαίνει, παραπλήcιον μὲν τοῦ ἐρωτᾶν, οὐ μὴν αὐτὸ τὸ ἐρωτᾶν· 5
ἔcτι γάρ τιc, ὡc δῆλον, διαφορὰ μάλιcτα παρὰ τοῖc διαλεκτικοῖc μεταξὺ πύcματοc καὶ ἐρωτήματοc. τὸ πυνθάνεcθαι παρὰ τοῖc ῥήτορcι καὶ παρ' Ὁμήρῳ ἐπὶ τοῦ ἀκούειν καὶ μανθάνειν·

πυνθανόμην Ἰθάκηc γε (ν 256)

καὶ πάλιν (Β 119) 10

αἰcχρὸν γὰρ τόδε γ' ἐcτὶ καὶ ἐccομένοιcι πυθέcθαι

καὶ (Λ 21)

πεύθετο γὰρ Κύπρονδε μέγα κλέοc

καὶ (γ 87)

πευθόμεθ', ἧχι ἕκαcτοc ἀπώλετο 15

καὶ (γ 88)

κείνου δ' αὖ καὶ ὄλεθρον ἀπευθέα θῆκε Κρονίων.

ἐν γὰρ τούτοιc ἅπαcιν ἐπὶ τοῦ ἀκούειν κεῖται τὸ πυνθάνεcθαι. καὶ Αἰcχίνηc δὲ ἐν τῷ Τῆc παραπρεcβείαc (cf. II 154) 'τούτῳ cυμβαλεῖν πυνθανόμενοc'. καὶ Δείναρχοc ἐν τῷ Κατὰ Φιλοκλέουc 20
(III 6) 'εὐτυχεῖτε, ὅτι οὐκ ἐν μείζονι καιρῷ ἐπύθεcθε τὴν αὐτοῦ αἰcχροκέρδειαν'. καὶ Δημοcθένηc ἐν τῷ Περὶ τῆc παραπρεcβείαc (XIX 76) 'οὗτοc ἀπήγγειλε τὰ ψευδῆ, ὑμεῖc ἐπιcτεύcατε, οἱ Φωκεῖc ἐπύθοντο'.

Lex. s. qvart. p. 192, 21: πωληταί· οἱ ἀπαιτηταὶ τῶν 25
ὀφειλῶν.

Svidas (cf. lex. S. quart. p. 193, 4): πώμαλα· ἀντὶ τοῦ πόθεν, οἷον οὐδαμῶc. ἔcτι δὲ τὸ μὲν πῶ Δώριον, τιθέμενον ἀντὶ τοῦ πόθεν, τὸ δὲ μαλα ἢ παρέλκει, ἢ ἐν cυνηθείᾳ λεγόμενον ἐν τῷ πώμαλα, οἷον οὐ μάλα ἀντὶ τοῦ οὔ ἢ ἀντὶ τοῦ οὐδόλωc. 30
ἔcτι δὲ Ἀττικόν. Λυcίαc ἐν τῇ Πρὸc Ἀcύβαρον ἐπιcτολῇ (fr. 254 Tur.; 110 Thalh.) 'γενναίωc γὰρ αἱ γυναῖκεc πώμαλα ἔφαcαν

5—7 cf. fr. 58—59 c. 29 ad uerba *ἐν συνηθείᾳ λεγόμενον* cf. Diels l. s. p. XXVIII.

15 *πευθόμεθ'* Bekker ex Homero, *πευθόμενος* libri.

ὠρχῆcθαι αὐτάc, δέον οὐδὲ πιούcαc ἀπηλλάχθαι τοῦ cυμποcίου' [ἐγένοντο].

SVIDAS: ῥᾳθυμεῖν· οὐχ ὡc ἡμεῖc φαμεν τὸ τοῖc ἀφροδιcίοιc cχολάζειν, ἀλλὰ ἁπλῶc τὸ ἀργεῖν καὶ τρυφᾶν, παρὰ τὸ τὰ 5 ῥᾷcτα τῷ θυμῷ διδόναι.

SVIDAS: ῥήτωρ· ῥήτωρ τὸ παλαιὸν ἐκαλεῖτο ὁ δήμῳ cυμβουλεύων καὶ ὁ ἐν δήμῳ ἀγορεύων, εἴτε ἱκανὸc εἴη λέγειν εἴτε καὶ ἀδύνατοc, εἴτε καὶ ἀπὸ τοῦ βελτίcτου καὶ δικαιοτάτου cυμβουλεύων εἴτ' ἐπ' οἰκείοιc λήμμαcι. καὶ ὁ Δημοcθένηc τοῦτον 10 καλεῖ ῥήτορα, ἐπειδὰν λέγῃ (XIII 20) 'ῥήτωρ ἡγεμὼν καὶ cτρατηγὸc ὑπὸ τούτῳ', καὶ ἑτέρωθι (XXI 189) 'ἐγὼ δ', εἰ μὲν ὁ cυμβουλεύων ὑμῖν ὅ τι ἂν cυμφέρειν ἡγῆται, .. ῥήτωρ ἐcτίν, οὔτ' ἀρνοῦμαι οὔτε φύγοιμι ἂν τοὔνομα τοῦτο· εἰ δὲ .. οἵουc .. ἐγὼ καὶ ὑμεῖc δὲ ὁρᾶτε, ἀπαιδεύτουc καὶ ἀφ' ὑμῶν πεπλουτη-15 κόταc, οὐκ ἂν εἴην οὗτοc ἐγώ'. καὶ πολλοῖc ψηφίcμαcι παραγέγραπται ῥητορικὴ ἐκ βουλῆc, εἰ εἰcφέρει τιc γνώμην, ἀλλὰ μὴ αὐτὸc ἰδίαν τύχην ἡγούμενοc.

SVIDAS: ῥόθιον· τὸ μετὰ ψόφου κῦμα ἢ ῥεῦμα, παρὰ τὸ ταχέωc ῥεῖν. cημαίνει καὶ τὴν εἰρεcίαν. . . . Ὑπερίδηc τῷ ῥοθίῳ 20 ἐπ' εἰρεcίαc κέχρηται cυντονωτάτηc. φηcὶ γοῦν (fr. 157 Bl.[3]) 'τὸ μὲν οὖν τῶν ἐλαυνόντων πλῆθοc καὶ τὸν τοῦ ῥοθίου ψόφον καὶ τὸ μέγεθοc τοῦ cκάφουc ἐκπεπληγμένοι δεινῶc ἦcαν'.

SVIDAS: caθροί· παλαιοί, φθαρέντεc.

SVIDAS (cf. lex. S. quint. p. 305, 9): Caμοθρᾴκη· νῆcοc· 25 κεῖται δὲ καταντικρὺ τῆc Θρᾴκηc, φαcὶ δὲ Caμίουc οἰκίcανταc αὐτὴν τὸ ὄνομα θέcθαι τοῦτο· καὶ ἔcτι παρὰ Ἀντιφῶντι ἐν τῷ Caμοθρᾳκικῷ λόγῳ οὕτωc εἰρημένον (fr. 49 Bl.[2]) 'καὶ γὰρ οἱ τὴν ἀρχὴν οἰκίcαντεc τὴν νῆcον ἦcαν Cάμιοι, ἐξ ὧν ἡμεῖc ἐγενό-

23 uide infra p. 185, 4.

---

2 *ἐγένοντο* del. Kuester. 11 *τούτων* reliqui, *τούτῳ* V. 12 *ὑμῖν* in Dem. cod. exstat post *συμφέρειν*. 16 *εἰ εἰσφέρει* Bernhardy, *εἰσφέρει* A B V, *εἰ φέρει* E. 17 *ἡγούμενος*] *εἰσηγούμενος* uel *αἱρούμενος* coni. Bernhardy. 20 *φησὶ γοῦν* Bernhardy, *φησὶν οὖν* libri. 25 *οἰκίσαντας* E, *οἰκήσαντας* reliqui. 28 *οἰκίσαντες* E corr. et Boeckh, *οἰκήσαντες* libri.

μεθα. κατῳκίcθηcαν δὲ ἀνάγκῃ, οὐκ ἐπιθυμίᾳ τῆc νήcου· ἐξ-
έπεcον γὰρ ὑπὸ τυράννων ἐκ Cάμου καὶ τύχῃ ἐχρήcαντο ταύτῃ * *
καὶ λείαν λαβόντεc ἀπὸ τῆc Θρᾴκηc ἀφικνοῦνται εἰc τὴν νῆcον'.

Lex. s. qvint. p. 305, 18: caπροί· οἱ παλαιοὶ καὶ φθαρέντεc.

Lex. s. qvart. p. 193, 18: cάργον· τὸ δεινότατον οὕτω φηcίν. 5

Svidas s. u. cίτου: .. cίτου δίκη· ὅταν γυνὴ ἀπόλειψιν
ποιηcαμένη πρὸc τὸν ἄνδρα διὰ τοῦ ἄρχοντοc ἢ καὶ ὑπὸ τοῦ
ἀνδρὸc ἐκπεμφθεῖcα μὴ ἀπολαμβάνῃ τὴν προῖκα καὶ διαγένηται
χρόνοc καὶ δίκην εἰcάγῃ πρὸc αὐτὸν καὶ ἀπαιτῇ προῖκα καὶ τρο-
φάc, ἀφ' ἧc ἀπηλλάγη ἡμέραc, αὕτη καλεῖται δίκη cίτου. 10

Svidas (cf. lex. S. quint. p. 305, 19 et lex. S. quart. p. 193, 19):
cκάνδιξ· ... cκάνδικα οὖν λάχανα οὐ τὰ ἐκ τῶν κηπίων, ἀλλὰ τὰ
αὐτομάτωc φυόμενα, ὥc φηcιν Ἀνδοκίδηc (fr. 4 Bl.[3]; 4 Lipsius)
'μὴ γὰρ ἴδοιμέν ποτε πάλιν ἐκ τῶν ὀρέων τοὺc ἀνθρακευτὰc
ἥκονταc εἰc τὸ ἄcτυ, καὶ γύναια καὶ πρόβατα καὶ βοῦc καὶ τὰc 15
ἁμάξαc ⟨cυγκομιζομένουc⟩ καὶ πρεcβυτέρουc ἄνδραc καὶ ἐργάταc
ἐξοπλιζομένουc· μηδὲ ἄγρια λάχανα καὶ cκάνδικαc ἔτι φάγοιμεν'.

Lex. s. qvint. p. 305, 13: cοβαρόc· ὁ cοβῶν, ὁ μετὰ cεμνό-
τητοc προϊών.

Lex. s. qvint. p. 305, 16: cυγγενήc· cυγγενὴc λέγεται καὶ 20
ἐπὶ ἀνδρὸc καὶ ἐπὶ γυναικόc.

Lex. s. qvart. p. 193, 17: cυμπρατήρ· ὁ τὰ πωλούμενα
ὑφ' ἑτέρου βεβαιῶν.

Svidas (cf. lex. S. quint. p. 305, 15): cύνδικοc καὶ cυν-
ήγοροc· ὅταν πλείονεc βοηθοὶ καὶ cυνήγοροι τῷ πράγματι παρ- 25
ῶcι, cύνδικοι καλοῦνται.

Svidas (cf. lex. S. quint. p. 305, 12): cυνετιμήθη· πολλῆc
τιμῆc ἐγένετο τὰ ὤνια. καὶ cυντιμηθῆναι. Δημοcθένηc ἐν

4 uide supra p. 184, 23. 27 s cf. infra p. 186, 6 s.

---

2 defectum indic. Sauppe. 3 *καὶ* deest in A V E. 6 *ἀπό-λειψιν* Salmasius, *ἀποδικεῖν* libri. 15 *εἰς τὸ ἄστυ καὶ γύναια* Sauppe post *ἥκοντας* dubitanter posuit, in libris exstant post *ἁμά-ξας*. 16 *συγκομιζομένους* add. Bernhardio praecedente Lipsius.

τῷ Πρὸς Διονυσόδωρόν φησιν (LVI 8) ‘οἱ μὲν γὰρ αὐτῶν ἀπέστελλον ἐς τὴν Αἴγυπτον τὰ χρήματα, οἱ δ’ ἔπλεον τοῖς ἐμπόροις, οἱ δ’ ἐνθάδε μένοντες συνετίμων τὰ ἀποστελλόμενα’.

Svidas (cf. lex. S. quart. p. 192, 3): συντελεῖς· ὅτε οἱ τρι-
5 ηραρχοῦντες νεὼς μιᾶς ἅμα ἐπεμελοῦντο, συντελεῖς ἐλέγοντο.

Svidas: συντιμηθῆναι· τὸ πολλῆς τιμῆς γενέσθαι τὰ ὤνια συντιμηθῆναι. οὕτω Δημοσθένης (LVI 8).

Svidas (cf. lex. S. quint. p. 305, 14): συσσημαίνεσθαι· ὃ καλοῦσι κατασφραγίσασθαι, τοῦτο οἱ ῥήτορες συσσημαίνεσθαι λέ-
10 γουσι. Λυκοῦργος ἐν τῷ Περὶ ⟨τῆς⟩ ἱερείας (fr. 31 Bl.) ‘ὥστε προστεταγμένον ὑπὸ ψηφίσματος καὶ τὴν ἱέρειαν συσσημαίνεσθαι τὰ γραμματεῖα’. καὶ σύσσημον τὸ σημεῖον.

Lex. s. qvint. p. 309, 20: τάχα· παρὰ τοῖς ποιηταῖς ἀντὶ τοῦ ταχέως, παρὰ δὲ τοῖς ῥήτορσι τὰ πολλὰ εὑρίσκεται ἀντὶ τοῦ
15 ἴσως κείμενον, ἥκιστα δὲ παραλαμβάνεται ἐπὶ δισταγμοῦ.

Svidas: τελεσθῆναι· τὸ ἀναλωθῆναι. οὕτως Ἀντιφῶν fr. 180 Bl.[2]; 82 Diels).

Svidas (cf. lex. S. quint. p. 309, 28): τετραδισταί· οἱ ἐπίπονον βίον διάγοντες, ἀπὸ τοῦ Ἡρακλέους, ὃς τετράδι γεννηθεὶς
20 πολλοὺς πόνους ἔτλη.

Svidas (cf. lex. S. quint. p. 309, 23 et lex. S. quart. p. 194, 2): τέως· οἱ ῥήτορες ἐπὶ τοῦ πρότερον ἢ πάλαι, μέχρι τούτου, ὡς Ἀντιφῶν (fr. 79 Bl.[2]) ‘τέως μὲν γὰρ ὁ πολὺς χρόνος τοῦ ὀλίγου πιστότερος ἦν’. καὶ ἐπὶ τοῦ ἐν τοσούτῳ. καὶ αὖθις ‘ἀπο-

6 s uide p. 185, 27 s.

---

1 *Διονυσόδωρον* V, *Διόδωρον* reliqui. 3 *συνετίμων*] *διετίθεντο* Dem.; uox *συνετιμήθη* paulo post apud Dem. legitur; ‚quem locum Dem. Suidas forsan in animo habuit‘ Kuester. 10 *τῆς* add. Sauppe. 11 *ὑπὸ* Blass, *ἐπὶ* libri. 18. 19 *ἐπίπονον βίον* A, *ἐπὶ τὸν βίον* reliqui. 22 *τούτου ὡς* Sauppe, *τοῦ τέως* libri. 24 *καὶ ἐπὶ — αὖθις* del. Bekker, *καὶ ἐπὶ τοῦ ἐν τοσούτῳ* [*καὶ αὖθις*] aut *καὶ αὖθις ἐπὶ τοῦ ἐν τοσούτῳ* Bernhardy. 24 — p. 187, 2 quae post *αὖθις* sequuntur, Sauppio et Blassio non uidentur Antiphontis esse; immo ea ad historicum uel historicos referenda esse puto.

καλύψαντες τὰ ὅπλα τέως ἐσκεπασμένα'. καὶ αὖθις 'καὶ διέφθειρε τοὺς τέως νενικηκότας'. καὶ ⟨Λυσίας⟩ ἐν τῇ ἀπολογίᾳ τῆς δωροδοκίας (Lysias XXI 19) 'δέομαι ὑμῶν τὴν αὐτὴν γνώμην περὶ ἐμοῦ ἔχειν καὶ ἐν τῷ τέως'. καὶ ἐν τῷ πρώτῳ Περὶ τοῦ Δικαιογένους κλήρου (Lys. fr. 65 Tur.; 24 Thalh.) 'Δικαιογένης δὲ τέως μὲν ᾤκει παρ' ἡμῖν, δοκιμασθεὶς δὲ ἔγημε'. καὶ ἐπὶ τοῦ ἐν τοσούτῳ. Ἰσαῖος ἐν τῷ Πρὸς Λυσίβιον (fr. 90 Tur.; 25 Thalh.) 'ἡγούμεθα γὰρ ἐκείνῃ μὲν τὸν ἐγγυτάτω γένους δεῖν συνοικεῖν, τὰ δὲ χρήματα τέως ⟨μὲν⟩ τῆς ἐπικλήρου εἶναι, ἐπειδὰν δὲ . . ἡβήσωσιν, ἐκείνους αὐτῶν κρατεῖν'. καὶ ἐπὶ τοῦ ἕως, ὡς παρὰ Δημοσθένει ἐν β' τῶν Φιλιππικῶν (II 21) 'ὥσπερ γὰρ ἐν τοῖς σώμασι, τέως μὲν ἂν ἐρρωμένα ᾖ, οὐδὲν ἐπαισθάνεται τῶν καθ' ἕκαστα σαθρῶν', καὶ ἐν τῷ Κατὰ Διονυσοδώρου (LVI 14) 'τοὺς δὲ εἰς Ῥόδον τόκους μὴ καθομολογεῖν, τέως ἂν διακριθῶμεν', καὶ ἐν τῷ Περὶ τῆς παραπρεσβείας (XIX 326) 'ἀντὶ τοῦ τὸν Ὠρωπὸν ὑμῖν παραδοθῆναι, περὶ τοῦ Δρυμοῦ καὶ τῆς πρὸς Πανάκτῳ χώρας μεθ' ὅπλων ἐξέρχεσθε, ὃ τέως ἦσαν σῷοι Φωκεῖς οὐδέποτε ἐποιήσαμεν'. καὶ ἐν τῷ Περὶ τῶν συμμοριῶν (XIV 35—36) 'καὶ μὴν οὐδὲ τῶν ἄλλων οὐδένα ἂν Ἑλλήνων εἰκότως φοβηθέντα τὸν πόλεμον τοῦτον ὁρῶ. τίς γὰρ οὐκ οἶδεν αὐτῶν ὅτι, τέως μὲν κοινὸν ἐχθρὸν ἐκεῖνον ὡμονόουν ἀλλήλοις, πολλῶν ἄρα ἦσαν κύριοι;'

Svidas (cf. lex. S. quart. p. 193, 33 et lex. S. quint. p. 309, 29): τήθη· μάμμη, ἡ πατρὸς ἢ μητρὸς μήτηρ.

Svidas (cf. lex. S. quart. p. 194, 1 et lex. S. quint. p. 309, 30): τηθίς· θεία, πατρὸς ἢ μητρὸς ἀδελφή.

Lex. s. quart. p. 194, 3: τηλικοῦτος· ἐπὶ μεγέθους ἢ πράγματος ἢ τόπου.

7—10 idem exemplum p. 166, 26—29 s. u. *ἡβήσαντες* laudatur.

---

1 *τὰ ὅπλα* ⟨*τὰ*⟩ coni. Wuensch. 2 Lysiae nomen hic excidisse apparet. 3. 4 *δέομαι οὖν ὑμῶν, ὦ ἄνδρες δικασταί, τὴν αὐτὴν νῦν περὶ ἐμοῦ γνώμην ἔχειν ἥνπερ καὶ ἐν τῷ τέως χρόνῳ* Lys. 7 *Λυσίβιον* Kuester, *Ἀνσίβιον* libri. 8 *ἐγγυτάτω* ex Suida ipso s. *ἡβήσαντες*, *ἐγγύτατον* V, *ἐγγύτατα* reliqui. 8. 9 *δεῖν συνοικεῖν* ex Suida s. *ἡβήσαντες*, *συνοικεῖν δεῖν* libri. 9 *τὰ δὲ χρήματα* ex Suida s. *ἡβ.*, *τὸ δὲ χρῆμα* libri. ⟨*μὲν*⟩ ex Suida s. *ἡβ.*

SVIDAS s. u. Τιμαγόρας (cf. lex. S. quart. p. 193, 26): . . . .
Τιμαγόρας προσκυνήσας τὸν Περσῶν βασιλέα παρὰ τὰ Ἑλλήνων
ἔθη καὶ δωροδοκηθεὶς ὑπὸ Ἀθηναίων ἀνῃρέθη.

SVIDAS (cf. lex. S. quint. p. 309, 27): τίμιον· τὸ σπάνιον
5 παρὰ τοῖς ῥήτορσι.

LEX. S. QVART. p. 193, 28: Τιμοκράτης· καὶ οὗτος ὑπὸ
Μακεδόνων ἔλαβεν ἀργύριον.

SVIDAS: τραγικὸς πίθηκος· ἐπὶ τῶν παρ' ἀξίαν σεμνυνο-
μένων. Δημοσθένης καὶ ἄλλα πολλὰ εἰπὼν εἰς τὸν Αἰσχίνην,
10 φάσκων ὑποκρινόμενον τοῖς ποιηταῖς τραγῳδιῶν, ἔτι καὶ πίθηκον
προσηγόρευσεν (XVIII 242), ἤτοι ὅτι βραχὺς ὢν τῷ σώματι εἰσῄει
εἰς τὴν σκηνήν, ἢ ὅτι ὁ πίθηκος μιμηλὸν ζῷόν ἐστιν, εἰς τοῦτο
ἐπέσκωψε τὸν Αἰσχίνην, ὡς ἀνθρώπους ὑποκρινομένους τραγῳ-
δίαν μιμούμενον.

15 LEX. S. QVINT. p. 309, 25: τρίγωνον· ὄργανον μουσικόν.
σημαίνει δὲ καὶ δικαστήριον.

LEX. S. QVART. p. 193, 30: τριηράρχημα· ὅταν ὁ τριήραρ-
χος περισσὸν δίδωσι τοῖς ναύταις.

SVIDAS: τρίμμα· ὁ τετριμμένος ἐν τοῖς πράγμασι. καὶ παρ'
20 Ἀριστοφάνει Νεφέλαις (260)

λέγειν γενήσῃ τρίμμα,

τουτέστι τετριμμένος, ἱκανὸς καὶ δεινὸς ἔσῃ λέγειν. καὶ Δη-
μοσθένης ἐν τῷ Περὶ στεφάνου (XVIII 127) ὡς ἰταμοῦ καὶ ἀν-
αισχύντου ῥήτορος καθαπτόμενος Αἰσχίνου 'περίτριμμα ἀγορᾶς'
25 αὐτὸν καλεῖ.

SVIDAS (cf. lex. S. quint. p. 309, 31): τριταγωνιστής· Αἰ-
σχίνης ἐν πολλοῖς σκώπτεται ὑπὸ Δημοσθένους (XVIII 129 et al.)
ὡς ὑποκριτὴς τραγῳδιῶν, καὶ τριταγωνιστὴν αὐτόν φησιν, ὡς
ἀδοκιμώτατον τῶν ὑποκριτῶν ἐν τρίτῃ τάξει καταριθμῶν.

9—11 cf. infra 26—28 et p. 148, 1—2. 28 cf. fr. 59*a*, 6.

---

8 *παροιμία* post *πίθηκος* add. Gaisford ex Hesych. et Phot.
29 quae post *καταριθμῶν* sequuntur, non recepi, cum haec ad alteram glossam referenda esse uideantur; cf. Bernhardii adn.

Lex. s. quart. p. 193, 23: τῶν μὴ ἐπεξιόντων τὰς δίκας· οἱ γραφόμενοι δίκας καὶ μὴ πάλιν ἐπεξιόντες, ἀλλ' ὀλιγωροῦντες καταμαρτυρῆσαι.

Suidas (cf. lex. S. quint. p. 312, 30): ὕβρις· ἡ μετὰ προπηλακισμοῦ καὶ ἐπηρείας, αἰκία δὲ πληγαὶ μόνον. Λυσίας ἐν τῷ 5 περὶ αἰκίας Πρὸς Ἰσοκράτην (fr. 126 Tur.; 44 Thalh.) 'καίτοι τίς οὐκ οἶδεν ὑμῶν, ὅτι τὴν μὲν αἰκίαν χρημάτων ἔστι μόνον τιμῆσαι, τοὺς δὲ ὑβρίζειν δόξαντας ἔξεστιν ὑμῖν θανάτῳ ζημιοῦν;'

Suidas: ὑπερήμερος καὶ ὑπερημερία· ὅταν μετὰ τὴν κυρίαν, ἑορτὴν τυχὸν ἢ τινος ἄλλου ἢ συλλόγου ἢ δεδειγμένου 10 πράγματος ἀπαντήσῃ τις, τότε ὑπερήμερος καὶ ἐξ ὑπερημερίας ἐληλυθέναι λέγεται καὶ κατόπιν τῆς ἑορτῆς, εἰ τύχοι πλεῖστον τῆς ἑορτῆς ἀπολειφθείς.

Suidas (cf. lex. S. quint. p. 313, 3 et lex. S. quart. p. 194, 7 et Pollux II 139): ὑπὸ μάλης· ὑπὸ μασχάλης. κεῖται δὲ τὸ 15 ὄνομα παρὰ τοῖς ῥήτορσιν· ἀεὶ δ' οὕτως αὐτὸ παραλαμβάνουσι μετὰ τῆς προθέσεως, ὡς Δημοσθένης ἐν τῷ Πρὸς Ἄφοβον (XXIX 12) 'ἀλλὰ μὴν οὐχ εἰς οὐδὲ δύο ταῦτ' ἴσασιν, οὐδ' ὑπὸ μάλης ἡ πρόκλησις γέγονεν, ἀλλ' ἐν τῇ ἀγορᾷ μέσῃ πολλῶν παρόντων'. καὶ Λυσίας ἐν τῷ Πρὸς Κλεινίαν (fr. 144 Tur.; 20 54 Thalh.) 'ἐπειδὴ πάντες κατέδαρθον, ἐσκευασμένος τῶν χαλκωμάτων ὅσα οἷός τ' ἦν πλεῖστα, ὑπὸ μάλης λαβὼν ἐξήγαγε ξίφος ἔχων'. καὶ τὸ μὲν ἑνικὸν οὕτω μετὰ τῆς προθέσεως, τὸ δὲ πληθυντικὸν μασχάλας καὶ ἄλλοι πλεῖστοι καὶ Λυσίας ἐν Ἐπιστολῇ (fr. 255 Tur.; 111 Thalh.) 'καὶ τὴν μὲν κόμην ψιλὴν ⟨ἔχεις⟩, 25 τὰς δὲ μασχάλας δασείας'.

Suidas: ὑποτροχίζεσθαι· οὐχ ὡς ἡμεῖς ⟨τὸ⟩ ὑποπεσεῖν τροχῷ καὶ τρωθῆναι τροχίζεσθαι καλοῦμεν, οὕτω καὶ οἱ ῥήτορες αὐτῷ ἐχρήσαντο, ἀλλὰ τὸ στρεβλοῦσθαι ἐπὶ τοῦ τροχοῦ τοὺς ἐξεταζομένους, ἵνα κατείπωσιν, ἃ συνίσασιν ἄλλοις ἢ περὶ ὧν 30 αὐτοὶ ἠδίκησαν, τροχίζεσθαι λέγουσιν.

Suidas (cf. lex. S. quint. p. 313, 5): ὑποφόνια· τὰ ἐπὶ τῷ

---

25 ἔχεις add. Sauppe ex Photio et schol. Plat. p. 347 Bk.
27 τὸ add. Bernhardy.

φόνῳ διδόμενα χρήματα τοῖς οἰκείοις τοῦ ἀναιρεθέντος ὑπὸ τοῦ τὴν αἰτίαν ἔχοντος, ὅτι ἀνῄρηκεν, [ἵνα μὴ ἐπεξίωσιν] ἐπὶ τῷ μὴ ἐπεξέρχεσθαι μηδὲ γενέσθαι τὴν τοῦ φόνου δίκην ὑποφόνια καλεῖται. οὕτως Δείναρχος (cf. fr. *XVIII 11 Tur.) καὶ Θεόφραστος.

5 Lex. s. quint. p. 313, 8: ὑπωμοσία· ὁπόταν τις νόμον ὑπ' ἄλλου εἰσηγηθέντα γράψηται παρανόμων ἢ αὐτὸς ὁ εἰσηγησάμενος καταγνοὺς αὐτοῦ ἐξομόσηται παραλελογίσθαι. ὑπωμοσία δὲ ἐκλήθη, ὅτι ὀμνύντες οἱ εἰσηγησάμενοι μήτε ἐπ' ἀργυρίῳ τὸν νόμον θέσθαι μήτε κατὰ χάριν ἀπελύοντο.

10 Lex. s. quint. p. 315, 22: φαρμακός· ἀνὴρ πονηρός.

(u. 11—16 = 26 B.) Lexic. rhet. Cantabr. s. u. προβολή p. 676, 23 Dobree = p. 356, 12 Nauck: προβολὴ μὲν φανεροῦ τινος ⟨ἀδικήματος, φάσις⟩ δὲ λανθάνοντος 357Nauck μήνυσις. Κεκί|λιος δὲ ⟨φάσιν⟩ φησὶν εἶναι, ἣν κατὰ 15 τῶν ⟨τὰ⟩ δημόσια μέταλλα ὑπορυττόντων ἀποφέρουσι [δὲ] καὶ καθόλου τῶν τὰ κοινὰ κλεπτόντων· καλεῖσθαι δὲ οὕτως καὶ τὰς ἐμπορικὰς μηνύσεις.

a Svidas (cf. lex. S. quint. p. 315, 16 et Gregor. Corinth. VII 2 p. 1119, 5 W.): φάσις ἐστίν, ἣν ποιεῖταί τις πρὸς τὸν 20 δοκοῦντα ὑπορύττειν δημόσιον μέταλλον ἢ χωρίον ἢ οἰκίαν ἢ ἄλλο τι τῶν δημοσίων. ἔτι δὲ καὶ οἱ τοὺς ἐπιτρόπους τῶν ὀρφανῶν αἰτιώμενοι παρὰ τοῖς ἄρχουσιν ὡς οὐ δεόντως μεμισθωκότας τὸν ⟨τῶν⟩ ὀρφανῶν οἶκον προφαίνειν λέγονται.

Svidas (cf. lex. S. quint. p. 315, 1 et lex. S. quart. p. 194, 15): 25 ὅτι φαῦλον εἴρηται σχεδὸν ὑπὸ πάντων τῶν ῥητόρων τὸ κακὸν ἐπί τε πράγματος καὶ ἀνδρὸς οὕτως ταττόμενον, ὡς Δημοσθένης ἐν τῷ Κατὰ Τιμοκράτους (XXIV 205) 'καὶ βλάπτειν ὑμᾶς καὶ δόξης

---

2 *ἵνα μὴ ἐπεξίωσιν* ut glossema del. Bernhardy. 4 *οὕτω* libri. 13 *μὲν φανεροῦ* M. H. E. Meier, *φανεροῦ μέν* liber. *ἀδικήματος, φάσις* add. Meier. *δὲ λανθάνοντος* Meier, *λανθάνοντος δὲ* liber. 14 *Κεκίλιος* Meier, *Κεκήλιος* liber. *φάσιν* add. Meier. 15 *τὰ* add. Meier. 16 *δὲ* damn. Meier. ante *τῶν* Meier *κατὰ* add. 23 *τῶν ὀρφανῶν* Bernhardy, *ὀρφανῶν* V, *ὀρφανὸν* E, *ὀρφανικὸν* reliqui.

ἀναπιμπλάναι φαύλης ἐπιχειροῦντα αὐτὸν οὐ τιμωρήσεσθε;' καὶ Ἰσοκράτης (I 35) 'ὁ γὰρ φαύλως διανοηθεὶς περὶ τῶν ἰδίων οὐδέποτε καλῶς βουλεύσεται περὶ τῶν ἀλλοτρίων'. καὶ Λυσίας ἐν Ἐπιστολῇ (fr. 260 Tur.; 114 Thalh.) 'λέγων ὡς οὐ φιλῶ σε, φαυλότητά μου μεγίστην καταγινώσκεις· εἰ γὰρ ἦθος τοιοῦτον καὶ 5 τρόπον καὶ ψυχὴν καὶ εὔνοιαν οὕτως ἀπροφάσιστον, ἔτι δὲ συνουσίας οἰκειότητα καὶ λόγων κοινωνίαν μὴ καθ' ὑπερβολὴν ἀσπάζομαι, τίς γένοιτ' ἂν ἐμοῦ ἀθλιώτερος, ὃς ἀναισθήτως ἔχω πρὸς τὸ φρονεῖν;' τάσσεται δὲ καὶ ἐπὶ τοῦ μικροῦ καὶ εὐκαταφρονήτου. 'οὐ φαύλας λαβὼν πληγάς' Δημοσθένης φησί (LIV 13). 10

a Lex. s. quint. p. 315, 1 (cf. lex. S. quart. p. 194, 15): φαῦλον· τὸ φαῦλον σημαίνει δέκα· ἐπί τε προσώπου καὶ πράγματος τὸ κακόν, τὸ μικρὸν καὶ τὸ εὐκαταφρόνητον καὶ τὸ ἀσθενὲς καὶ τὸ ἄδοξον καὶ τὸ ἀνόητον καὶ τὸ ἁπλοῦν καὶ τὸ ταπεινόν· καὶ ἐπὶ τοῦ πένητος καὶ ἐπὶ τοῦ ἐναντίου τῷ σπουδαίῳ 15 καὶ ἐπὶ τοῦ εὐτελοῦς.

Lex. s. quint. p. 315, 10: φελλέα· τὰ πετρώδη καὶ αἰγίβοτα χωρία.

Lex. s. quart. p. 194, 17: φενακίζειν· τὸ ἐξαπατᾶν τοὺς ἀκροωμένους καὶ τοὺς ὁρῶντας. 20

Lex. s. quint. p. 315, 11: φηλώματα· αἱ ἀπάται, παρὰ τὸν φήληκα. φήληξ δ' ἐστὶν ὁ ὄλυνθος ὁ φαινόμενος μὲν ὥσπερ πέπειρος, οὐκ ὢν δέ.

Lex. s. quint. p. 315, 23: φιλόνικος· ὁ παρὰ τὸ βέλτιστον νικᾶν θέλων. 25

Suidas (cf. lex. S. quint. p. 315, 20): Φιλοῦργος· οὗτος ἄσωτος ὢν ἐφωράθη ἐν Ἀθήναις τὰ ἱερὰ συλήσας καὶ 'τὸ Γοργόνειον ὑφελόμενος', ὡς Ἰσοκράτης λέγει (XVIII 57). μέμνηται τούτου Αἰσχίνης ἐν τῷ Κατὰ Κτησιφῶντος.

---

4 *Ἐπιστολῇ 'λέγων ὡς* Sauppe, *Ἐπιστολῇ λέγων 'ὡς* uulg. 6 *ἀπροφάσιστον* Sauppe, *ἀπροφασίστως* libri. 17 *φέλλερα* liber, corr. Boysen 1 s. p. 20. 24 *φιλόνεικος* liber, em. Radermacher. 26 *Φιλοῦργος* Bernhardy, *Φιλουργός* libri. 28. 29 nihil tale apud Aeschinem; respexit fortasse auctor ad u. *Φρυνώνδας*, quae Aeschin. III 137 legitur.

Lex. s. qvart. p. 194, 12: φονικόν· ἐὰν μέτοικόν τις ἀποκτείνῃ, φυγῆς μόνον κατεδικάζετο· ἐὰν μέντοι ἀστόν, θάνατος ἡ ζημία.

Svidas (cf. lex. S. quint. p. 315, 7): φορμός· προκάλυμμα 5 ἢ πλεκτὸν ἀγγεῖον ἐκ φλοιοῦ, ἐν ᾧ εἰώθεσαν αἱ ἰσχάδες κομίζεσθαι.

Lex. s. qvint. p. 315, 21: φράτορες· συγγενεῖς, οἰκεῖοι.

Lex. s. qvart. p. 194, 14: φρατριάζειν· τὸ μετέχειν φρατρίας.

Svidas: φρονηματισθῆναι· οὕτως Ὑπερίδης (fr. 275 Bl.[3]). ἀντὶ τοῦ φρονήματος καὶ οἰήσεως πληρωθῆναι. 'οἱ δὲ φρονη-10 ματισθέντες ὑπὸ τῶν δεδηλωμένων ἕτοιμοι ἦσαν'.

Svidas: φρυκτὸς καὶ παραφρυκτωρευόμενος· οἱ κακουργοῦντες περὶ τὰς φυλακὰς κτλ. quae secuntur, plane eadem sunt, quae supra p. 178, 24 s. u. παραφρυκτωρευόμενος exstant.

Lex. s. qvint. p. 315, 14: φωρῶν λιμένα· ὁ φωρῶν λιμήν 15 ἐστιν ἐν μεθορίῳ τῆς Ἀττικῆς, ἔνθα οἱ λῃσταὶ καὶ κακοῦργοι ὁρμίζονται.

Svidas: χρηματιστής· χρημάτων ποριστής. ὁ ῥᾳδίως χρήματα πορίζων οὕτω προσαγορεύεται. κεῖται τὸ ὄνομα παρὰ Λυσίᾳ (fr. 334 Tur.; 116 Thalh.).

20 Svidas (cf. lex. S. quint. p. 316, 27): χρημάτων· συνήθως μὲν οἵ τε ἰδιῶται καὶ οἱ ῥήτορες τῷ ὀνόματι τῶν χρημάτων ἐπὶ νομίσμασι χρῶνται ἀργυρίου καὶ χρυσίου καὶ ἐπὶ τῆς ὅλης οὐσίας τὴν λέξιν ταύτην ἔταξαν. 'τὸν ἀποκτείναντα ὅσιον εἶναι καὶ θνήσκειν καὶ τὰ χρήματα αὐτοῦ πεπρᾶσθαι'. κεῖται δὲ ἡ λέξις 25 καὶ ἐπὶ πράγματος ἢ προσώπου ἢ λόγου ὡς Ἀντιφῶν (fr. 183 Bl.[2]; 117 Diels). τάσσουσι δὲ τὴν λέξιν καὶ ἐπὶ τῶν ἐμπορικῶν φορτίων, ὁ δὲ Λυσίας ἐπὶ τοῦ χρυσοῦ κατασκευάσματος τίθησι (fr. 335 Tur.; 116 Thalh.).

Svidas: ψευδέγγραφος δίκη· τῶν δημοσίᾳ ὀφειλόντων 30 τὰ ὀνόματα ἀπογράφονται οἱ ταμίαι, καὶ ὅσα ἕκαστος ὀφείλει. ἐὰν οὖν μὴ ὀφείλοντα ἐγγράψῃ τις ἢ ὀφείλοντα μὲν ἐγγράψῃ, πλέον δὲ τοῦ ὀφειλήματος, οὗτος ψευδεγγραφῆς κρίνεται.

20. 22 ad uerba *συνήθως ... χρῶνται* cf. Diels l. s. p. XXVIII.

Svidas: ψευδὴς ἐγγραφή· τοῦτο μὲν ὄνομα δίκης, ζητήσειε δ' ἄν τις, τίνι διαφέρει ψευδεγγραφὴ βουλεύσεως· καὶ γὰρ διαφέροντα τίθησιν ὁ Λυκοῦργος (cf. fr. 12 Bl.). τάχα οὖν ψευδεγγραφῆς μὲν ἐλάγχανον οἱ μὴ ὀφείλοντες μέν, ἐγγραφέντες δὲ ψευδῶς, βουλεύσεως δὲ οἱ πάλαι μὲν ὠφληκότες, ἀποδόντες δὲ 5 καὶ αὖθις κατ' ἐπιβουλὴν ψευδῶς ἐγγραφέντες.

Lex. s. qvart. p. 194, 25: ψευδογραφή· ὅταν τοὺς ὀφείλοντας διδόναι τι τοῖς ἰδίοις ἔγγραφον προστίθησί τις διὰ τῆς προσθήκης.

Lex. s. qvart. p. 194, 22: ψευδοκλητίας· ὅταν εἰς ἐμ- 10 φανῶν κατάστασίν τινες κρύφα ἐνέγκαντες τοὺς ἀντιδίκους πρὸς τὸν κριτήν, ἐρήμην καταψηφίσαντες τοῦ ἑτέρου μέρους.

Lex. s. qvart. p. 194, 27: ψευδομαρτυριῶν· ὅταν δικάζωνται, ὅτι ἀδίκως καταμαρτυροῦνται.

XIII
ΠΕΡΙ ΤΩΝ ΚΑΘ' ΙΣΤΟΡΙΑΝ Η ΠΑΡ' ΙΣΤΟΡΙΑΝ ΕΙΡΗΜΕΝΩΝ ΤΟΙΣ ΡΗΤΟΡΣΙ

Περὶ τῶν καθ' ἱστορίαν ἢ παρ' ἱστορίαν εἰρημένων τοῖς ῥήτορσι Svidas.

huius opusculi nil diem tulit. cf. Brzoska l. c. p. 1186.

XIV
FRAGMENTA INCERTAE SEDIS

καὶ ἄλλα πλεῖστα Svidas.

156 Marcellinvs uita Thucyd. 35 p. 193, 79 Westerm. 15 = Thuc. tom. I p. 6, 1 Hude: *ζηλωτὴς δὲ γέγονεν ὁ Θουκυδίδης εἰς μὲν τὴν οἰκονομίαν Ὁμήρου, Πινδάρου δ' εἰς τὸ μεγαλοφυὲς καὶ ὑψηλὸν τοῦ χαρακτῆρος, ἀσαφῶς δὲ*

17 cf. fr. 156*a*, 12.

λέγων ἀνὴρ ἐπίτηδες, ἵνα μὴ πᾶσιν εἴη βατὸς μηδ' εὐτελὴς φαίνηται παντὶ τῷ βουλομένῳ νοούμενος εὐχερῶς, ἀλλὰ τοῖς λίαν σοφοῖς δοκιμαζόμενος παρὰ τούτοις θαυμάζηται· ὁ γὰρ τοῖς ἀρίστοις ἐπαινού-
5 μενος καὶ κεκριμένην δόξαν λαβὼν ἀνάγραπτον εἰς τὸν ἔπειτα χρόνον κέκτηται τὴν τιμήν, οὐ κινδυνεύουσαν ἐξαλειφθῆναι τοῖς ἐπικρίνουσιν. (36) ἐζήλωσε δ' ἐπ' ὀλίγον, ὥς φησιν Ἄντυλλος, καὶ τὰς Γοργίου τοῦ Λεοντίνου παρισώσεις καὶ τὰς ἀντιθέσεις τῶν ὀνο-
10 μάτων, εὐδοκιμούσας κατ' ἐκεῖνο καιροῦ παρὰ τοῖς Ἕλλησι καὶ μέντοι καὶ Προδίκου τοῦ Κείου (cf. *Vorsokratiker* p. 535, 42 Diels) τὴν ἐπὶ τοῖς ὀνόμασιν ἀκρι-
194 W. βολογίαν. (37) μάλιστα | δὲ πάντων, ὅπερ εἴπομεν, ἐζήλωσεν Ὅμηρον καὶ τῆς περὶ τὰ ὀνόματα ἐκλογῆς
15 καὶ τῆς περὶ τὴν σύνθεσιν ἀκριβείας, τῆς τ' ἰσχύος τῆς κατὰ τὴν ἑρμηνείαν καὶ τοῦ κάλλους καὶ τοῦ τάχους. (38) τῶν δὲ πρὸ αὐτοῦ συγγραφέων τε καὶ ἱστορικῶν ὥσπερ ἀψύχους εἰσαγαγόντων τὰς συγγραφὰς καὶ ψιλῇ μόνῃ χρησαμένων διὰ παντὸς διηγήσει, προσ-
20 ώποις δ' οὐ περιθέντων λόγους τινὰς οὐδὲ ποιησάντων δημηγορίας, ἀλλ' Ἡροδότου μὲν ἐπιχειρήσαντος, οὐ μὴν ἐξισχύσαντος (δι' ὀλίγων γὰρ ἐποίησε λόγων ὡς προσωποποιίας μᾶλλον ἤπερ δημηγορίας), μόνος ὁ συγγραφεὺς ἐξεῦρέ τε δημηγορίας καὶ τελείως ἐποίησε
25 μετὰ κεφαλαίων καὶ διαιρέσεως, ὥστε καὶ στάσει ὑποπίπτειν τὰς δημηγορίας· ὅπερ ἐστὶ λόγων τελείων εἰκών. (39) τριῶν δ' ὄντων χαρακτήρων φραστικῶν, ὑψηλοῦ, ἰσχνοῦ, μέσου, παρεὶς τοὺς ἄλλους ἐζήλωσε τὸν ὑψηλόν, ὡς ὄντα τῇ φύσει πρόσφορον τῇ οἰκείᾳ
30 καὶ τῷ μεγέθει πρέποντα τοῦ τοσούτου πολέμου· ὧν γὰρ αἱ πράξεις μεγάλαι, καὶ τὸν περὶ αὐτῶν ἔπρεπε λόγον ἐοικέναι ταῖς πράξεσιν. (40) ἵνα δὲ μηδὲ τοὺς

11—13 cf. fr. 156*a*, 9.

---

11 *Κείου* edunt, *Κίου* liber. 18 *ὥσπερ ἀψύχους* coni. Krueger, *ἀψύχους ὥσπερ* liber. *εἰσαγαγόντων* Poppo, *εἰσαγόντων* liber. 29 *τῇ* ⟨*τε*⟩ *φύσει* coni. Hude.

ἄλλους ἀγνοῇς χαρακτῆρας, ἴσθι ὅτι μέσῳ μὲν Ἡρόδοτος ἐχρήσατο, ὃς οὔτε ὑψηλός ἐστιν οὔτε ἰσχνός, ἰσχνῷ δ' ὁ Ξενοφῶν. (41) *διά γ' οὖν τὸ ὑψηλὸν ὁ Θουκυδίδης καὶ ποιητικαῖς πολλάκις ἐχρήσατο λέξεσι καὶ μεταφοραῖς τισιν.* 5

in p. 194, 11—13 Caecilii ingenium obseruauit V. DE WILAMOWITZ Herm. XII p. 334, 14. fortasse etiam reliqua ex Caecilio fluxerunt.

156a SCHOLION Thucydid. IV 135, 2 p. 89[b] 20 Haase: ἰστέον ὅτι εἰς τὸ κομψὸν τῆς φράσεως Θουκυδίδης Αἰσχύλον καὶ Πίνδαρον ἐμιμήσατο, εἰς δὲ τὸ γόνιμον τῶν ἐνθυμημάτων τὸν ἑαυτοῦ διδάσκαλον Ἀντιφῶντα, εἰς δὲ τὴν λέξιν Πρόδικον, ὅθεν καὶ Προδίκου λέξεις ἐν τῷ κειμένῳ σημειούμεθα, εἰς δὲ τὸ γνωμικὸν 10 τοὺς Σωκρατικούς, Εὐριπίδην καὶ τοὺς ἄλλους (τοῖς γὰρ αὐτοῖς χρόνοις ἦσαν), εἰς δὲ τὴν οἰκονομίαν τὸν ποιητήν.

8 s cf. fr. 99, 2—5 et fr. 99*a*. 9 cf. fr. 156 p. 194, 11—13. 12 cf. fr. 156 p. 193, 17.

157 MARCELLINVS uita Thucyd. 56 p. 199, 45 Westerm. = p. 10, 1 Hude: ἔστι δὲ τὴν ἰδέαν καὶ τὸν χαρακτῆρα μεγαλοπρεπής, ὡς μηδὲ ἐν τοῖς οἴκτοις ἀφίστασθαι τοῦ μεγαλοπρεποῦς, 15 ἐμβριθὴς τὴν φράσιν, ἀσαφὴς τὴν διάνοιαν διὰ τὸ ὑπερβατοῖς χαίρειν, ὀλίγοις ὀνόμασι πολλὰ πράγματα δηλῶν, καὶ ποικιλώτατος μὲν ἐν τοῖς τῆς λέξεως σχήμασι, κατὰ δὲ τὴν διάνοιαν τοὐναντίον ἀσχημάτιστος· οὔτε γὰρ εἰρωνείαις οὔτε ἐπιτιμήσεσιν οὔτε ταῖς ἐκ πλαγίου ῥήσεσιν οὔτε ἄλλαις τισὶ πανουργίαις πρὸς 20 τὸν ἀκροατὴν κέχρηται, τοῦ Δημοσθένους μάλιστα ἐν τούτοις ἐπιδεικνυμένου τὴν δεινότητα. (57) οἶμαι δὲ οὐκ ἀγνοίᾳ σχηματισμοῦ τοῦ κατὰ διάνοιαν παρεῖναι τὸν Θουκυδίδην τὸ τοιοῦτον, ἀλλὰ τοῖς ὑποκειμένοις προσώποις πρέποντας καὶ ἁρμόζοντας

16 s cf. fr. 73, 16 s (*ἀσάφειαν ἐκ τῶν ὑπερβατῶν*) et fr. 94 p. 77, 27 s.

---

11 *τοὺς Σωκρατικούς* de quo dubitarunt sanum est; u. Eurip. uitam: (*Εὐρ.*) *γενόμενος . . καὶ Σωκράτους ἑταῖρος* (Wuensch).

συντιθέντα τοὺς λόγους. οὐ γὰρ ἔπρεπε Περικλεῖ καὶ Ἀρχιδάμῳ καὶ Νικίᾳ καὶ Βρασίδᾳ, ἀνθρώποις μεγαλόφροσι καὶ γενναίοις καὶ ἡρωϊκὴν ἔχουσι δόξαν, λόγους εἰρωνείας καὶ πανουργίας περιτιθέναι, ὡς μὴ παρρησίαν ἔχουσι φανερῶς ἐλέγχειν καὶ ἄντικρυς
5 μέμφεσθαι καὶ ὁτιοῦν βούλονται λέγειν. διὰ τοῦτο τὸ ἄπλαστον καὶ ἀνηθοποίητον ἐπετήδευσε, σῴζων κἀν τούτοις τὸ προσῆκον καὶ τῇ τέχνῃ δοκοῦν· τεχνίτου γὰρ ἀνδρὸς φυλάξαι τοῖς προσώποις τὴν ἐπιβάλλουσαν δόξαν καὶ τοῖς πράγμασι τὸν ἀκόλουθον κόσμον.

cf. fr. 103.

hoc de Thucydide iudicium rhetoricum fortasse ex Caecilio haustum esse Blass l. s. I p. 118, 4 suspicatus est.

158 (= 21, 6—8 B.) Dionysivs halic. ep. ad Pom-
10 peium 3, 20 p. 240, 14 Vs. et R.: ἐμοὶ μέντοι καὶ τῷ φιλτάτῳ Κεκιλίῳ δοκεῖ τὰ ἐνθυμήματα αὐτοῦ (τοῦ Θουκυδίδου) μάλιστα ⟨μιμήσασθαί⟩ τε καὶ ζηλῶσαι Δημοσθένης.

ea, quae hunc locum praecedunt, mihi quidem uidentur non Caecilii esse, quamquam Burckhardt (fr. 21) illa quoque ei adscribit. nam cum antecedentibus uerbis fragmentum nostrum ita non cohaeret, ut nonnulli uiri docti coniecerint in uerborum contextu ante *ἐμοὶ* aliquid deesse. sed ea rectiora esse, quae Vsener ad h. l. docet, putauerim. qui cum sibi constet ea, quae fragmentum nostrum praecedunt et quae sequuntur, repetita esse ex Dionysii libro de imitatione, facit uerba haec: 'ante *ἐμοὶ* hiare orationem post Reiskium Herwerdenus et Sauppius l s [*Goett. gel. anz.* 1863 p. 1667] statuerunt. sed proximum enuntiatum [i. e. fragmentum nostrum] Dionysius non ex libro de imitatione petiuisse sed hic Pompei caussa inseruisse uidetur'. de uerbis *φιλτάτῳ Κεκιλίῳ* uide ea, quae K. Muenscher (Philologus LVIII 1899 p. 109) et V. de Wilamowitz (*abhandlungen d. gesellsch. d. wissensch. zu Goett. phil.-hist. kl. NF.* IV 3 p. 70) dixerunt.

***159** Argvmentvm Aeschinis or. I p. 18 Reiske: τὸ δὲ προοίμιόν ἐστι τραγικώτερον· ἐν αὐτῷ δὲ διασυστήσας ἑαυτὸν μέ-

12 *μάλιστά γε* libri, corr. Sauppe.

τριον, ἵνα εὔνοιαν ἐπισπάσηται, καὶ τὸν Τίμαρχον διαβαλὼν καὶ 19 R.
περὶ τῆς πολιτείας εἰπὼν μεταβαίνει ἐπὶ κεφάλαια οὐ τῆς ὑποθέσεως ἴδια, ἀλλὰ κοινὰ κατὰ πάντων τῶν ἑταιρήσεως κρινομένων.

etiam, quae in fr. 160 et fr. 162 contra *τὸ προοίμιον τραγικώτερον* disputantur, Caecilii esse conieci; in his tribus locis ingenium unius eiusdemque auctoris agnoscere possumus.

***160** (= Dionys. Hal. fr. 2 p. 253 s Vs. et R.) Scholion Aeschinis or. III in Ctesiphontem 1 p. 315 Schultz: τὴν παράταξιν (ὅση γεγένηται)] . . δοκεῖ δὲ τραγικώτερον κεχρῆσθαι εὐθὺς ἐν ἀρχῇ τῇ μεταφορᾷ, πολιτικώτερον δὲ ὑπὸ Δημοσθένους εἰρῆσθαι τὸ αὐτὸ νόημα ἐν τῷ Τῆς παραπρεσβείας εὐθὺς ἐν ἀρχῇ, ἔχον οὕτως (XIX 1) 'Ὅση μέν, ὦ ἄνδρες Ἀθηναῖοι, σπουδὴ καὶ παραγγελία γέγονε' καὶ τὰ ἑξῆς. 5 10

Argumentum Aeschinis or. III p. 352 R.: μέμψαιτο δ' ἄν τις τὸ προοίμιον ὡς τραγικὸν καὶ περιττὸν καὶ ἐπιλόγῳ μᾶλλον ἐοικός.

ibid. p. 353 R.: ὅρα δὲ πῶς ἐπιλογικῶς ἤρξατο ἀπὸ συνηγόρων ἐκβολῆς, ὥσπερ καὶ Δημοσθένης (XIX 1).

cf. scholion Aeschinis or. I in Timarchum 69 p. 267 Sch.: 15
ἀξιοῦσι τινὲς μέμφεσθαι τῷ ῥήτορι ἐν ἀγῶνι συνηγόρων ἐκβολὴν ποιησαμένῳ, δέον ἐν ἐπιλόγῳ κτλ.

cf. fr. 159 et fr. 162. 5—10 cf. etiam fr. 165 p. 202, 28 — 203, 3. 6 s Caecilii de usu translationum praeceptum fr. 95 p. 84, 7 ss nobis seruatum est.

ad fr. 160 et 161 u. V. de Wilamowitz Herm. XXXIV p. 626.

161 (= Dionys. Hal. fr. 3 p. 254 Vs. et R.) Scholion Aeschinis or. III 90 p. 331 Sch.: (πλείους τραπόμενος τροπὰς) τοῦ Εὐρίπου] . . ἔστι δὲ τὸ κῶλον χαριεντισμός. ἐπαινοῦσι δὲ τοῦτο 20 τὸ κῶλον οἱ κριτικοὶ λέγοντες σωφρόνως αὐτὸ πεφράσθαι καὶ οὐ κούφως.

***162** Scholion Demosth. or. XVIII de corona 4 p. 264, 3 Dind.: *βαδίζω] τινὲς ἐμέμφαντο ὡς τροπικὴν ἐν προοιμίοις οὐ*

---

24 *τροπικὴν* Wolf, *τροπὴν* libri.

καλῶς κειμένην τὴν λέξιν. ἀλλ' οὔτε ἐν ⟨πρώτῳ⟩ προοιμίῳ ἐστίν, ἀλλ' ἐν τελευταίοις τοῦ δευτέρου, οὔτε ἀπεξενωμένη καὶ ἀπόκριτος, ὡς Αἰσχίνης ἐχρήσατο ἐν τῷ προοιμίῳ (III 1) 'παρασκευὴν' εἰπὼν καὶ 'παράταξιν',
5 ἀλλὰ προσεχὴς καὶ μᾶλλον ἁρμόττουσα. εἰ γὰρ δὴ οἶμος ἡ ὁδός ἐστι, καὶ τὸ προοίμιον ὡς ὁδὸς τοῦ παντὸς λόγου, οὕτω κέχρηται, οὐκ ἀλλότριον ὡς πρὸς ὁδὸν τὸ βαδίζειν.

cf. fr. 159 et fr. 160. 3 s cf. etiam fr. 165 p. 202, 28 s.

163 Argvmentvm Demosth. or. XXI in Midiam. Pap. CXXXI Mus. Brit. (= *Aristotle on the constitution*
10 *of Athens edited by F. G. Kenyon. Third and revised edition* 1892 p. 216 et *Jahrbuecher fuer Philologie* 145, 1892 p. 29 [Blass]): *Μειδίας εἰς τὰ μάλιστα ἐχθρὸς ἦν τῷ Δημοσθένει, καὶ διὰ πολλῶν μὲν καὶ ἄλλων ἐνεδείξατο εἰς αὐτὸν τὴν ἔχθραν, καί ποτε*
15 *χορηγὸν ὄντα αὐτὸν τῆς Πανδιονίδος φυλῆς ἐν μέσῃ τῇ ὀρχήστρᾳ κονδύλοις ἔλαβεν. ὁ δὲ ἐγράψατο αὐτὸν δημοσίων ἀδικημάτων, συμπεριλαβὼν τοῖς δημοσίοις ἀδικήμασι τὴν ἑαυτοῦ ὕβριν, ἐπεὶ ἐξῆν ἐκείνῳ λέγειν ὅτι 'ὑβρίσθης·*
20 *λαβὲ τῆς ὕβρεως τὸ πρόστιμον'. ἔχει δ' ἡ ὑπόθεσις κατὰ μὲν Κεκίλιον δύο κεφάλαια, εἰ δημόσιόν ἐστιν ἀδίκημα, καὶ εἰ μεγάλα τὰ πεπραγμένα ἐστίν. προσθετέον δὲ κἀκεῖνο, εἰ ὕβρις ἐστὶν ἡ γενομένη· ὅπερ ἀθετεῖ Κεκίλιος κακῶς·*
25 *ἔσται γὰρ ἐναντίως αὐτῷ γεγραμμένον τὸ προοίμιον*

---

1 πρώτῳ add. Wolf. 2. 3 ἀπεξενωμένη Wolf, ἀποξενώμενος libri. 16 ὁ δὲ Kenyon, ἐφ' οἷς Blass. 17. 18 συμπεριλαβὼν Kenyon, συνπεριλαβὼν Blass. 20 ἔχει Kenyon, περιέχει Blass. 22. 23 πεπραγμένα ἐστίν Kenyon, πεπραγμένα (om. ἐστίν) Blass.

καὶ ἡ τοῦ χρυσοχόου μαρτυρία. ὅτι δὲ δῆλός ἐστι συμ|περιλαβὼν τοῖς δημοσίοις ἀδικήμασι τὴν 30 Bl.
ἑαυτοῦ ὕβριν, ἐξ ἐκείνου φανερόν, ὅταν λέγῃ (XXI 7) *'ἐπειδὰν ἐπιδείξω Μειδίαν τοῦτον μὴ μόνον εἰς ἐμέ, ἀλλὰ καὶ εἰς ὑμᾶς καὶ εἰς τοὺς* 5
ἄλλους ἅπαντας ὑβρικότα' καὶ τὰ ἑξῆς. αἱ δ' ὑποθέσεις ὅταν μὴ ἔχωσιν ζητήματα μηδ' ἀμφισβητήσεις, λελυμέναι εἰσὶ καὶ τόπον τῷ ῥήτορι οὐ καταλείπουσι· οἷον περὶ φόνου τις ἐγκαλεῖται καὶ λέγει 'ἀπέκτεινα μὲν τὸν δεῖνα, δικαίως δέ'. τότε, ὁμο- 10
λογήσαντος αὐτοῦ τὸν φόνον, ζητεῖται πότερα δικαίως ἢ ἀδίκως ἀπέκτεινε· ὅταν δὲ λέγῃ ὁ ἐγκαλούμενος, ὅτι ἀπέκτεινε καὶ ἀδίκως ἀπέκτεινε, τότε λέλυται ἡ ὑπόθεσις. οὕτως καὶ περὶ ταύτης τῆς ὕβρεως ῥηθήσεται. 15

hoc fragmentum pertractauit Blass l. s. p. 29—33 et tetigerunt V. de Wilamowitz (Herm. XXXIV 1899 p. 626) et Diels l. s. p. XII s.

163a Scholion Demosth. or. XXI 1 p. 531, 11 Dind.: ζητήσειε δ' ἄν τις, ὅπως δημοσίᾳ κρίνων αὐτὸν ὕβρεως ἐμνημόνευσε. καὶ ῥητέον, ὅτι βούλεται πᾶσαν ὕβριν δημοσίαν ἐπιδεῖξαι καὶ μάλιστα τὴν Μειδίου. εἰ γὰρ καθ' ἕνα πάντας ὑβρίζει, ἐκ δὲ τῶν καθ' ἕνα πόλιν, δηλονότι δημοσίᾳ ἀδικεῖ. 20

conlatis iis quae supra fr. 163 p. 198, 21 s leguntur, ad

---

1 *μαρτυρία*] post hoc uerbum primo picta uerba *δημοσιων αδικηματων ουκ οφειλε*, sed deleta esse Kenyon docet; Blass ea in textum recipit et conicit: *δημοσίων ἀδικημάτων οὐκ εἰρημένων.* 4 *ἐπειδὰν* papyrus et Kenyon, *ἔπειτ' ἂν* Blass ex Dem. *τοῦτον* Kenyon, *τουτονὶ* Blass. 9 *ἐγκαλεῖται* Kenyon, *ἐνκαλεῖται* Blass. 12 *ἀπέκτεινε* edunt, *απεκτεινα* papyrus. 13 *ἀπέκτεινε* bis pap. et Kenyon, *ἀπέκτεινα* bis Blass. 14 *ταύτης* Kenyon, *αὐτῆς* Blass.

Caecilium refert Radermacher. cf. scholion p. 532, 22 Dind. ad οὐ μόνον πληγάς.

163b Scholion Demosth. or. XXI 7 p. 538, 3 Dind.: ὕβρισμαι μὲν ἐγὼ] ἐκ τεττάρων ὅρων βιάζεται δημόσιον δεικνύναι τὸ γεγονός· πρῶτον μέν, ὅτι πᾶσα ὕβρις καὶ ἐν ὁποίῳ δήποτε καιρῷ δημόσιόν ἐστι. καὶ τοῦτο δείκνυσιν ἑνὶ μὲν διὰ
5 τοῦ εἰπεῖν (XXI 45) 'τὰς μὲν γραφὰς ἔδωκε παντὶ τῷ βουλομένῳ, τὸ δὲ τίμημα ἐποίησε δημόσιον ὅλον'. δευτέρου δέ, ὅτι πάντα τὰ ἐν τῇ ἑορτῇ γιγνόμενα, κἂν εἰς ἰδιώτην ᾖ, δημόσιά ἐστι. τρίτον, ⟨ὅτι⟩ τὰ εἰς χορηγὸν γιγνόμενα καὶ πολλῷ πλέον. τετάρτον, ὅτι 'οὐ δι' ἐμὲ μόνον, ἀλλὰ καὶ διὰ πάντας τοὺς
10 ἄλλους, ὅσους ὕβρισεν, ἄξιός ἐστιν ὡς ὑβριστὴς καὶ τυραννικὸς δημοσίᾳ κολασθῆναι'. πρῶτον οὖν ἀποδείκνυσιν, ὅτι πᾶσα ὕβρις δημόσιόν ἐστι, καί φησιν (XXI 8) 'εἴ τις οὖν ὑμῶν'. ἐντεῦθεν ἡ προκατασκευή, ἔνθα τίθησι τοὺς δύο νόμους, δεικνύων, ὅτι δημόσιόν ἐστι τὸ ἀδίκημα. ἕτεροι
15 δέ φασιν, ὅτι τοῦτο δοκεῖ μὲν συνηρτῆσθαι τῷ προοιμίῳ· τὸ δὲ ἀληθὲς ὥσπερ προοίμιόν ἐστι τῆς κατασκευῆς τῆς μελλούσης· ἐντεῦθεν γὰρ προβιβάζει περὶ τοῦ χρῆναι τὰ ἐν τῇ ἑορτῇ πάντα δημόσια νομίζειν καὶ οὐ τῶν ἰδίων τινὸς ἕνεκα γίνεσθαι, τουτέστιν ὅτι πᾶσα ὕβρις δημόσιόν ἐστιν.

cf. fr. 163 et 163 *a*. uestigia Caecilii adgnoscit Radermacher.

164 Porphyrivs apvd Evsebivm Caesarensem
20 praepar. euangel. X 3, 13: Κεκίλιος δὲ ὥς τι μέγα πεφωρακὼς ὅλον δρᾶμα ἐξ ἀρχῆς εἰς τέλος Ἀντιφάνους τὸν Οἰωνιστήν (CAF II 82 K.) μεταγράψαι φησὶ τὸν Μένανδρον εἰς τὸν Δεισιδαίμονα (CAF III 32 K.). (14) ἐπεὶ δὲ τοὺς κλέπτας ἔδοξεν, οὐκ οἶδ' ὅπως, ὑμῖν, φησίν,
25 εἰς τὸ μέσον ἀγαγεῖν, μηνύω καὐτὸς Ὑπερίδην (fr. 95 et 104 Bl.[3]) τὸν καλόν, πολλὰ παρὰ Δημοσθένους κεκλοφότα, ἔν τε τῷ Πρὸς Διώνδαν λόγῳ κἀν τῷ Περὶ τῶν Εὐβούλου δωρεῶν. (15) καὶ ὅτι μὲν ὁ ἕτερος παρὰ τοῦ

---

8 ὅτι add. Radermacher.

ἑτέρου μετέθηκε, πρόδηλον· συγχρονούντων δ' αὐτῶν, ἡμῶν μὲν ἂν εἴη ἔργον, φησίν, ὦ Ἀπολλώνιε, ἐκ τῶν χρόνων ἀνιχνεῦσαι τὸν κλέπτην. ἐγὼ δὲ ὑποπτεύω μὲν τὸν ὑφῃρημένον εἶναι τὸν Ὑπερίδην, ἀδήλου δὲ ὄντος ὁπότερος, ἄγαμαι μὲν Δημοσθένην, εἰ λαβὼν παρὰ Ὑπερίδου πρὸς 5 *δέον διώρθωσε, μέμφομαι δὲ τὸν Ὑπερίδην, εἰ λαβὼν παρὰ Δημοσθένους πρὸς τὸ χεῖρον διέστρεψε.* . . . (17) *ἢ* (sc. *τί ὑμῖν λέγω*) *ὡς τὰ περὶ βασάνων εἰρημένα παρ' Ἰσαίῳ* (VIII 12) *ἐν τῷ Περὶ τοῦ Κλεωνύμου κλήρου καὶ παρὰ Ἰσοκράτει ἐν τῷ Τραπεζιτικῷ* (XVII 54) *κεῖται καὶ παρὰ* 10 *τῷ Δημοσθένει ἐν τῷ Κατὰ Ὀνήτορος ἐξούλης* (XXX 37) *σχεδὸν διὰ τῶν αὐτῶν εἴρηται; ἢ ὡς Δείναρχος* (fr. LX 3 Tur.) *ἐν τῷ πρώτῳ Κατὰ Κλεομέδοντος αἰκίας πολλὰ μετενήνοχεν αὐτοῖς ὀνόμασιν ἐκ τοῦ Δημοσθένους Κατὰ Κόνωνος αἰκίας;* 15

similis est ratio in fr. sequenti et in fr. 166 et in fr. 167 et in multis aliis fragmentis, quae omnia ad fr. 89 congessi.

ad p. 200, 20—24 cf. Marx l. s. p. 175, 2 et Wilh. Christ (*abhandlungen der Bayerischen akademie d. wissensch. philos.-philol. cl.* uol. XXI 1901 p. 472, 1), qui uir doctus de toto hoc capite (ibid. p. 472 s) disputauit.

***165** Clemens Alexandrinus Stromat. VI 2, 16 p. 435, 6 Staehlin: *ὡς δὲ μὴ ἄμοιρον τήν τε φιλοσοφίαν τήν τε ἱστορίαν, ἀλλὰ μηδὲ τὴν ῥητορικὴν τοῦ ὁμοίου ἐλέγχου περιίδωμεν, καὶ τούτων ὀλίγα παραθέσθαι εὔλογον.* . . . | . . . 436 St.

(18) Εὐριπίδου δὲ ἐν μὲν τῷ Οἰνομάῳ γράφοντος (fr. 574 N.[2]) 20

τεκμαιρόμεσθα τοῖς παροῦσι τὰ ἀφανῆ,

ἐν δὲ τῷ Φοίνικι (fr. 811 N.[2])

τὰ ἀφανῆ τεκμηρίοισιν εἰκότως ἁλίσκεται,

Ὑπερείδης λέγει (fr. 195 Bl.[3]) 'ἃ δ' ἐστὶν ἀφανῆ, ἀνάγκη τοὺς διδάσκοντας τεκμηρίοις καὶ τοῖς εἰκόσι ζητεῖν'. Ἰσοκράτους τε 25

---

9 *Κλεωνύμου*] immo *Κίρωνος* (or. VIII). 12 ⟨*καὶ*⟩ *σχεδὸν* coni. Wuensch. 21 *τεκμαιρόμεσθα* Theodoretus, *τεκμαιρόμεθα* liber. 21 et 23 *τἀφανὲς* Theodoretus.

437 St. αὖ εἰπόντος (IV 141) 'δεῖ δὲ τὰ μέλλοντα τοῖς προγεγενη|μένοις τεκμαίρεσθαι' Ἀνδοκίδης οὐκ ὀκνεῖ λέγειν (III 2) 'χρὴ γὰρ τεκμηρίοις χρῆσθαι τοῖς πρότερον γενομένοις περὶ τῶν μελλόντων ἔσεσθαι'. . . . Εὐριπίδης μὲν [γὰρ] γράφει (Medea 516—519)

5 ὦ Ζεῦ, τί δὴ χρυσοῦ μέν, ὃς κίβδηλος ᾖ
τεκμήρια ἀνθρώποισιν ὤπασας σαφῆ,
ἀνδρῶν δὲ ὅτῳ χρὴ τὸν κακὸν διειδέναι,
οὐδεὶς χαρακτὴρ ἐμπέφυκε σώματι;

Ὑπερείδης δὲ καὶ αὐτὸς λέγει (fr. 196 Bl.[3]) 'χαρακτὴρ οὐδεὶς 10 ἔπεστιν ἐπὶ τοῦ προσώπου τῆς διανοίας τοῖς ἀνθρώποις'.

438 St. (19) . . | . . καὶ πρό γε τούτου Σοφοκλέους ἐν τῷ Πηλεῖ (ποιήσαντος) [fr. 447 N.[2]]

Πηλέα τὸν Αἰάκειον οἰκουρὸς μόνη
γεροντάγωγῶ καὶ ἀναπαιδεύω ⟨πάλιν⟩·
15 πάλιν γὰρ αὖθις παῖς ὁ γηράσκων ἀνήρ,

Ἀντιφῶν ὁ ῥήτωρ λέγει (fr. 136 Bl.[2]; 66 Diels) 'γηροτροφία γὰρ προσέοικεν παιδοτροφίᾳ'. . .

(20) ναὶ μὴν Θουκυδίδου λέγοντος (I 73, 4) 'Μαραθῶνί τε μόνοι προκινδυνεῦσαι' Δημοσθένης εἶπεν (XVIII 208) 'μὰ τοὺς 20 ἐν Μαραθῶνι προκινδυνεύσαντας'. οὐδὲ ἐκεῖνα παραπέμψομαι· Κρατίνου ἐν Πυτίνῃ εἰπόντος (fr. 185 CAF I 69 K.)

τὴν μὲν παρασκευὴν ἴσως γινώσκετε

Ἀνδοκίδης ὁ ῥήτωρ λέγει (I 1) 'Τὴν μὲν παρασκευήν, ὦ ἄνδρες δικασταί, καὶ τὴν προθυμίαν τῶν ἐχθρῶν τῶν ἐμῶν σχεδόν τι 25 πάντες εἴσεσθε'. ὁμοίως καὶ Λυσίας ἐν τῷ Πρὸς Νικίαν ὑπὲρ ⟨παρα⟩καταθήκης (fr. 190 Tur.; 70 Thalh.) 'τὴν μὲν παρασκευὴν καὶ τὴν προθυμίαν τῶν ἀντιδίκων ὁρᾶτε, ὦ ἄνδρες δικασταί' φησίν, καὶ μετὰ τοῦτον Αἰσχίνης λέγει (III 1) 'Τὴν μὲν παρασκευὴν ὁρᾶτε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τὴν παράταξιν'. πάλιν

19—20 cf. fr. 60, 7 (et adn.) et fr. 94 p. 73, 13 s. 28 — p. 203, 3 cf. fr. 160, 5—10. 28—29 cf. etiam fr. 162 p. 198, 3 s.

---

4 *γὰρ* del. Dindorf. 14 *πάλιν* add. Dindorf ex Tryphone. 18 *Μαραθῶνί τε* Dindorf ex Thuc., *μαραθωνῖται* liber. 21 *Πυτίνῃ* Sylburg, *ποιτίνηι* liber. 22 *γιγνώσκετε* Dindorf. 23 *Ἀνδοκίδης* Victorius, *ἀνδροκύδης* liber. 25 *Λυσίας* . . *Νικίαν* Ruhnken, *νικίας* . . *λυσίαν* liber. 26 ⟨*παρα*⟩*καταθήκης* Sylburg.

Δημοcθένους εἰπόντος (XIX 1) '"Οcη μέν, ὦ ἄνδρες Ἀθηναῖοι, cπουδὴ περὶ τουτονὶ τὸν ἀγῶνα καὶ παραγγελία γέγονεν, cχεδὸν οἶμαι πάντας ὑμᾶς ᾐcθῆcθαι' Φιλῖνος [τε] ὁμοίως (fr. 4 O A II 319^b Tur.) 'ὅcη μέν, ὦ ἄνδρες | δικασταί, cπουδὴ καὶ παράταξις γεγένηται περὶ τὸν ἀγῶνα τουτονί, οὐδένα ὑμῶν ἀγνοεῖν ἡγοῦμαι'. 439 St. 5

(21) Ἰcοκράτους πάλιν εἰρηκότος (XIX 31) 'ὥcπερ τῶν χρημάτων, ἀλλ' οὐκ ἐκείνου cυγγενὴς οὖcα' Λυcίας ἐν τοῖς Ὀρφανικοῖς λέγει (fr. 264 Tur.; 84 Thalh.) 'καὶ φανερὸς γέγονεν οὐ τῶν cωμάτων cυγγενὴς ὤν, ἀλλὰ τῶν χρημάτων'. 9

(22) . . . | Ὁμήρου πάλιν ποιήcαντος (Z 488) 440 St.

μοῖραν δ' οὔ τινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν,

ὅ τε Ἀρχῖνος (fr. 2 O A II 167^b Tur.) λέγει 'πᾶcι μὲν ἀνθρώποις ὀφείλεται ἀποθανεῖν ἢ πρότερον ἢ εἰς ὕcτερον', ὅ τε Δημοcθένης (XVIII 97) 'πᾶcι μὲν γὰρ ἀνθρώποις τέλος τοῦ βίου θάνατος, κἂν ἐν οἰκίcκῳ τις αὐτὸν καθείρξας τηρῇ'. 15

u. cum fr. praecedens, fr. 166, fr. 167, tum fr. 89 adn. de hoc loco cf. W. Christ l. c. p. 470—476.

166 Theon Rh. Gr. II p. 62, 21 Sp.: μαρτύρια δὲ τούτου καὶ παρὰ ποιηταῖς καὶ ἱcτορικοῖς, καὶ ἁπλῶς πάντες οἱ παλαιοὶ φαίνονται τῇ παραφράcει ἄριcτα κεχρημένοι, οὐ μόνον τὰ ἑαυτῶν ἀλλὰ καὶ τὰ ἀλλήλων μεταπλάccοντες. Ὅμηρον μεταφράζων, ὅτε φηcί (c 136—137) 20

τοῖος γὰρ νόος ἐcτὶν ἐπιχθονίων ἀνθρώπων,
οἷον ἐπ' ἦμαρ ἄγηcι πατὴρ ἀνδρῶν τε θεῶν τε,

ὁ Ἀρχίλοχος (fr. 70 Bgk)

τοῖος ἀνθρώποιcι θυμός, Γλαῦκε, Λεπτίνεω πάϊ,
γίγνεται θνητοῖς, ὁκοῖον Ζεὺς ἐφ' ἡμέρην ἄγει. 25

καὶ πάλιν Ὅμηρος ἅλωcιν πόλεως τοῦτον τὸν τρόπον εἴρηκεν (I 593—594) |

ἄνδρας μὲν κτείνουcι, πόλιν δέ τε πῦρ ἀμαθύνει, 63 Sp.
τέκνα δέ τ' ἄλλοι ἄγουcι βαθυζώνους τε γυναῖκας.

ὁ δὲ Δημοcθένης οὕτως (XIX 65) 'ὅτε γοῦν ἐπορευόμεθα εἰς 30

---

3 τε del. Mayor. 5 οὐδένα Sauppe, οὐθ' ἕνα liber. 7. 8 Ὀρφανικοῖς Taylor, ὀρφικοῖς liber. 15 αὐτὸν Dindorf, αὑτὸν liber. 25 ὁκοίην Laert. Diog. et Suid.

Δελφούς, ἐξ ἀνάγκης ὁρᾶν ἦν ταῦτα πάντα, οἰκίας κατεσκαμμένας, τείχη περιῃρημένα, χώραν ἔρημον τῶν ἐν ἡλικίᾳ, γύναια δὲ καὶ παιδάρια ὀλίγα καὶ πρεσβύτας ἀνθρώπους οἰκτρούς'. ὁ δὲ Αἰσχίνης οὕτως (III 157) 'ἀλλὰ ταῖς γε διανοίαις ἀποβλέψατε 5 αὐτῶν εἰς τὰς συμφοράς, καὶ νομίσατε ὁρᾶν ἁλισκομένην τὴν πόλιν, τειχῶν κατασκαφάς, ἐμπρήσεις οἴκων, ἱερὰ συλώμενα, ἀγομένας ⟨γυναῖκας⟩ καὶ παῖδας εἰς δουλείαν, πρεσβύτας ἀνθρώπους, πρεσβύτιδας γυναῖκας ὀψὲ μεταμανθάνοντας τὴν ἐλευθερίαν'. ἔτι δὲ ὁ μὲν Θουκυδίδης φησί (II 45, 1) 'φθόνος γὰρ 10 τοῖς ζῶσι πρὸς τὸ ἀντίπαλον, τὸ δὲ μὴ ἐμποδὼν ἀνανταγωνίστῳ εὐνοίᾳ τετίμηται'. ὁ δὲ Θεόπομπος (fr. 302 FHG I 329) 'ἐπίσταμαι γάρ, ὅτι τοὺς μὲν ζῶντας πολλοὶ μετὰ δυσμενείας ἐξετάζουσι, τοῖς δὲ τετελευτηκόσι διὰ τὸ πλῆθος τῶν ἐτῶν ἐπανιᾶσι τοὺς φθόνους'. ὁ δὲ Δημοσθένης οὕτω (XVIII 315) 'τίς γὰρ οὐκ 15 οἶδε τῶν πάντων, ὅτι τοῖς μὲν ζῶσιν ἅπασιν ὕπεστί τις ἢ πλείων ἢ ἐλάττων φθόνος, τοὺς τεθνεῶτας δὲ οὐδὲ τῶν ἐχθρῶν τις μισεῖ;' καὶ μέντοι γε ὁ Φίλιστος τὸν Ἀττικὸν ὅλον πόλεμον ἐν τοῖς Σικελικοῖς ἐκ τῶν Θουκυδίδου μετενήνοχε, καὶ Δημοσθένης εἰς τὸν Κατὰ Μειδίου τά τε Λυσίου καὶ Λυκούργου ἐκ τῶν τῆς 20 ὕβρεως λόγων, καὶ τὰ Ἰσαίου ἐκ τῶν Κατὰ Διοκλέους ὕβρεως. εὕροις δ' ἂν καὶ παρὰ Ἰσοκράτει ἐν τῷ Πανηγυρικῷ τὰ ἐν τῷ Λυσίου ἐπιταφίῳ καὶ τῷ ⟨Γοργίου⟩ Ὀλυμπικῷ (fr. 3 OA II 129ᵃ Tur.). ἀλλὰ μὴν καὶ αὐτὸς ὁ Δημοσθένης πολλάκις ἑαυτὸν παραφράζει, 64 Sp. οὐ | μόνον τὰ ἐν ἄλλοις λόγοις αὐτῷ εἰρημένα ἀλλαχόσε μεταφέρων, 25 ἀλλὰ καὶ ἐν ἑνὶ λόγῳ πολλάκις φαίνεται ταὐτὰ μυριάκις εἰρηκώς, τῇ δὲ τῆς ἑρμηνείας ποικιλίᾳ λανθάνει τοὺς ἀκούοντας. ἐν μέν γε ⟨τῷ⟩ Κατὰ Μειδίου φησί (XXI 37) 'τίς γὰρ ἡμῶν οὐκ οἶδε τοῦ μὲν πολλὰ τοιαῦτα γενέσθαι τὸ μὴ κολάζεσθαι τοὺς ἐξαμαρτάνοντας αἴτιον ὄν, τοῦ δὲ μηδένα ὑβρίζειν τὸ λοιπὸν τὸ δίκην τὸν ἀεὶ 30 ληφθέντα, ἣν προσήκει, διδόναι μόνον αἴτιον γενόμενον;' ἐν δὲ τῷ Κατὰ Ἀριστοκράτους [XXIII 99] (τὸ δὲ αὐτὸ καὶ Κατὰ Ἀν-

21—22 cf. fr. 121 p. 105, 14—16 et fr. 122, 10—13.
31 — p. 205, 5 ∾ fr. 41 et 41 *a*.

---

6 *ἱερὰ συλώμενα* desunt in Aeschinis libris. 7 *γυναῖκας* add. Spengel ex Aeschine. 22 *Γοργίου* add. I. G. Pfund. 27 *τῷ* add. Wuensch et Radermacher. *ἡμῶν* Theonis libri, *ὑμῶν* Dem.

δροτίωνος [XXII 7]) 'οὐ γὰρ εἴ τι πώποτε μὴ κατὰ τοὺς νόμους ἐπράχθη, σὺ δὲ τοῦτο ἐμιμήσω, διὰ τοῦτο ἀποφύγοις ἂν δικαίως, ἀλλὰ τοὐναντίον πολὺ μᾶλλον ἁλίσκεσθαι διὰ ταῦτα. ὥσπερ γάρ, εἴ τις ἐκείνων ἑάλω, σὺ τάδ' οὐκ ἂν ἔγραψας, οὕτως, ἂν σὺ δίκην δῷς, ἄλλος οὐ γράψει'. ἐν δὲ τοῖς Φιλιππικοῖς τὰ αὐτὰ πράγματα ἄνω καὶ κάτω λέγων διατετέλεκε, καὶ ἐν τῷ Πρὸς Λεπτίνην, ὅτι μὴ δεῖ τοὺς εὖ ποιήσαντας ἀφελέσθαι τὰ δοθέντα, οὐδ' ὀλιγάκις εἴρηκεν· ἐν δὲ τῷ Ὑπὲρ τοῦ στεφάνου, ὅτι οὐκ ἐπὶ τῷ τέλει τῶν πεπραγμένων κατηγορεῖν δίκαιον ἦν, ἀλλὰ καθ' ἕκαστον τῶν πολιτευμάτων ἐλέγχειν, παρ' ὅλον τὸν λόγον παρέσπαρται· τὰ δὲ περὶ τῆς λύσεως τῶν αἰχμαλώτων τις οὐκ οἶδεν ἐν τῷ Περὶ τῆς παραπρεσβείας διατεθρυλημένα;

ratio huius fragmenti eadem est, quae in fr. 164, fr. 165, fr. 167, in aliis fragmentis in adn. ad fr. 89 addita enumeratis nobis occurrit.

***167** Scholion Aeschinis or. II de falsa legatione 175 p. 313 Sch.: καὶ πάλιν] μετῆκται τὰ πλεῖστα ἐκ τῶν 'Ανδοκίδου (III 8—9) κτλ.

de ratione huius fragmenti cf. adnotationem ad fr. 166 additam.

***168** Qvintil. VIII 3, 35: *idem (Cicero) putat a Terentio primum dictum esse 'obsequium', Caecilius a Sisenna 'albenti caelo'.*

hunc Caecilium Calactinum esse Burckhardt l. c. p. 25 et, ut uidetur, Peter (HRF p. 185 no. 103) negant. sed cf. Angermann l. c. p. 48, 3 et uide indicem personarum et rerum Meisteri edit. Quintil. p. 303. Angermann dicit: 'Caecilii illud de Sisenna iudicium non mirandum est, nam scripsit etiam *σύγκρισιν Δημοσθένους καὶ Κικέρωνος*'.

---

12 *διατεθρυλημένα* Spengel, *διατεθρυλημένῳ* libri. 17 albenti *libri,* albente *Spalding.*

APPENDIX

CONTINENS

PSEVDOCAECILIANVM

Cod. Vat. gr. 435 fol. 220 ed. J. ab Arnim
(Hermes XXVII 1892 p. 118 ss).

ΠΛΟΥΤΑΡ⟨ΧΟΥ Η⟩ ΚΕΚΙΛΙΟΥ ΑΠΟΦΘΕΓΜΑΤΑ ΡΩΜΑΙΚΑ

p. 119 *Οὐκ ἐβούλοντο οἱ παλαιοὶ Ῥωμαίων, ὦ †σίβοσσε
ἀνδρῶν ἄριστε, σοφοὶ εἶναι δοκεῖν, ὅθεν οὐδὲ ἐθήρων
τὴν δόξαν δεινότητι λόγων ἢ περιττοῖς καὶ πιθανοῖς
4 ἀποφθέγμασιν οἷς ἐχρήσαντο Ἑλλήνων τινές, * ἃ
p. 120 διαβεβόηται, χρησμῶν | εἶναι δοκοῦντα ἤδη πιστότερα·
μηδὲν ἄγαν καὶ ἕπου θεῷ· καὶ χρόνων φείδου· καὶ
γνῶθι σαυτόν· καὶ ἐγγύα πάρα δ' ἄτα· καὶ ἄλλα τού-
τοις ἐοικότα· ἴσως μὲν καὶ ὠφέλιμα τοῖς πειθομένοις,
ἔχοντα δέ τι ἐν τῷ βραχεῖ τῆς ἀποδόσεως ἡδὺ καὶ*

ΠΛΟΥΤΑΡ ..... ΚΕΚΙΛΙΟΥ cod., suppleuit Arnim. *ΑΠΟ-ΦΘΕΓΜΑΤΑ ΡΩΜΑΙΚΑ*] hunc titulum pro suspecto habet Arnim 122 et scribendum proponit *ΧΡΕΙΑΙ* uel simile quid. 1 *σίβοσσε*] *Σηβῶσε*? cf. Arnim 123, 1. 4 *ἀποφθέγμασιν* Arnim, *ἀποφθέγγμασιν* cod. lacunam indicauit Arnim 123 s; scribendum esse fere *ἀποφθέγμασιν οἵοις* (cod. *οἷς*) *ἐχρήσαντο Ἑλλήνων τινές, ⟨δόξαν δὲ ἔλαβον ὡς σοφοὶ ὄντες οἱ τὰ τοιάδε μάλιστα εἰπόντες⟩ — ἃ διαβεβόηται χρησμῶν .. πιστότερα — μηδὲν ἄγαν* eqs.

παρακλητικόν. Δικαιάρχῳ δὲ οὐδὲ ταῦτα σοφῶν εἶναι ἀνδρῶν δοκεῖ· μὴ γὰρ δή γε τοὺς πάλαι λόγῳ φιλοσοφεῖν, ἀλλ' εἶναι τὴν σοφίαν τότε γοῦν ἐπιτήδευσιν ἔργων καλῶν, χρόνῳ δὲ λόγων ὀχλικῶν γενέσθαι τέχνην· καὶ νῦν μὲν τὸν πιθανῶς διαλεχθέντα μέγαν (5) εἶναι δοκεῖν φιλόσοφον, ἐν δὲ τοῖς πάλαι χρόνοις ὁ ἀγαθὸς μόνος ἦν φιλόσοφος, εἰ καὶ μὴ περιβλέπτους καὶ ὀχλικοὺς ἀσκοῖτο λόγους· οὐ γὰρ ἐζήτουν ἐκεῖνοί γε εἰ πολιτευτέον οὐδὲ πῶς, ἀλλ' ἐπολιτεύοντο αὐτοὶ καλῶς, οὐδὲ εἰ χρὴ γαμεῖν, ἀλλὰ γήμαντες, ὃν δεῖ (10) τρόπον γαμεῖν, ταῖς γυναιξὶ συνεβίουν. ταῦτα ἦν, φησίν, ἔργα ἀνδρῶν καὶ ἐπιτηδεύματα σοφῶν· αἱ δὲ ἀποφθέγξεις αὗται πρᾶγμα φορτικόν. τοιούτους πείθομαι καὶ τοὺς ὑμετέρους γενέσθαι πατέρας· εἶναι γὰρ ἀγαθοὶ ἐβούλοντο καὶ τούτου τοῖς ἔργοις ἐφικνοῦντο· (15) στρογγύλας δ' ἀποφθέγξεις καὶ καλλιρήμονας ὥστε περιττὰς εἶναι δοκεῖν οὔτ' ἐπετήδευον οὔτε ἐγίνωσκον· οἵοις μέντοι λογισμοῖς ἕκαστα ἔπραττον, τοιούτοις καὶ λόγοις περὶ αὐτῶν ἐχρῶντο, οὐκ εἰς βραχὺ συνηγμένοις, ἀλλὰ καλοῖς, εἰ τὸν νοῦν σκέπτοιτό τις, μὴ (20) ἐπιδεικτικῶς ἐξετάζων ἀλλ' ἐπὶ τὴν χρείαν ἕκαστα ἀνάγων.

Οἷόν τι περὶ Ἀππίου τοῦ ἀναπήρου πεπύσμεθα. ἦν μὲν γὰρ ἤδη γηραιός, πρὸς Πύρρον δὲ Ῥωμαίοις πόλεμος ἦν· καὶ ὁ βασιλεὺς τῇ πρώτῃ μάχῃ νικήσας (25) διαπρεσβεύεται, συμβῆναι ἐπὶ τοῖσδε ἀξιῶν· τὸ μὲν

---

1 παρακλητικόν Kaibel apud Arnim 124, 1, προσκλητικόν cod., προκλητικόν Arnim. 8. 9 ἐκεῖνοί γε corr. Arnim, ἐκεῖ γε cod. 10. 11 οὐδὲ εἰ χρὴ γαμεῖν, ⟨οὐδὲ⟩ ὃν δεῖ τρόπον γαμεῖν, ἀλλὰ γήμαντες coni. Wuensch. 11 συνεβίων cod., συνεβίουν cod. a corr. 12 φησίν Arnim, φασίν cod. 15 τούτου Arnim, τούτων cod. 24 Πύρρον Arnim, πύρον cod.

Ἑλληνικὸν τὸ ἐν Ἰταλίᾳ πᾶν ἐλεύθερον εἶναι καὶ αὐτό-
νομον· χρῆσθαι δὲ καὶ Σαυνίτας καὶ Λευκανοὺς καὶ
πάντας Βρεττίους τοῖς αὐτῶν νόμοις, Πύρρου ὄντας
συμμάχους, Ῥωμαίους δὲ Λατίνων ἄρχειν μόνων. πρὸς
5 ταῦτα οἱ μὲν ἀντέλεγον, αἰσχρὰ πρὸς δὲ καὶ βλαβερὰ
εἶναι φάμενοι τῇ πόλει, τοῖς δ' οὐκ ἐδόκει ἀντιτείνειν,
τὸν περὶ τῶν ὅλων κίνδυνον δεδιόσι. καί τις τῶν ἐκ
μέσου ἀνὴρ ἐπαινούμενος 'ἄμεινον ἂν' ἔφη 'βουλευ-
σαίμεθα, εἰ καὶ Ἄππιον σύμβουλον λάβοιμεν'. ὁ γὰρ
10 ἀνὴρ σὺν τῷ φρονίμῳ καὶ φιλόπολις ἐδόκει. καλεῖ
p. 121 οὖν, καὶ ὡς ἧκε λέγουσιν αὐτῷ, ἐφ' οἷς ἠξίου συμβαί-
νειν ὁ βασιλεύς. τὸν δὲ ἐπὶ πολὺν χρόνον σιωπή-
σαντα εἰπεῖν μόλις 'πάλαι μέν, ὦ βουλή, ὑπερηχθό-
μην ἀνάπηρος ὤν, νῦν δὲ πολλὴν τῇ συμφορᾷ ταύτῃ
15 χάριν ἔχω μὴ ὁρᾶν ὑμᾶς τοὺς τοιαῦτα βουλευομένους·
εἴθε δέ με καὶ κωφὸν γεγονέναι, ἵνα μηδὲ ἀκούοιμι
αἰσχρῶν λόγων'. κἀντεῦθεν ἐπεδείκνυε τό τε ἐπικίν-
δυνον καὶ ἄδοξον τῆς συμβάσεως.

Ὅμοιον δὲ καὶ τὸ Κέσωνος. ὁ γὰρ δη Κέσων τῷ
20 παρὰ Καρχηδονίων πρεσβευτῇ ταχθεὶς ἐλθεῖν εἰς λό-
γους — ὁ δὲ τάξας ἦν Ἄππιος ⟨ὁ⟩ ἐπὶ Σικελίας πρῶ-
τος στρατηλατῶν — ἐπεὶ παριὼν ὁ Φοῖνιξ εἶπε καὶ
ἐμεγαληγόρει περὶ τῆς Καρχηδόνος, Ῥωμαίοις δὲ ἐπ-
ετίμα διότι ἐπιχειροῦσι περὶ νήσου πρὸς αὐτοὺς πολε-

---

3 Πύρρου Arnim, πύρου cod. 9 Ἄππιον Arnim, ἄπιον cod. 10 καλεῖ] Kaibel apud Arnim 120, 1 καλεῖται uel sim. conicit. 15 ἔχω μὴ] ante μὴ aut τοῦ aut τὸ excidisse Arnim 125 putat, Kaibel, quem equidem sequor, scribi uult ἔχω μὴ ὁρῶν. 16 εἴθε δέ με καὶ κωφὸν] post κωφὸν fortasse uocabulum ἦν addendum esse Arnim contendit, Kaibel apud Arnim 125 εἴθ' ἔδει conicit. 21 Ἄππιος Arnim, ἄπιος cod. ὁ add. Arnim. 22 παριὼν Kaibel apud Arnim 121, περὶ ὧν cod. 24 νήσου Arnim, νόμου cod.

μεῖν, οὔτε ναυτικὸν ἔχοντες οὔτε ἔμπειροι ἀγώνων ὄντες θαλαττίων τῆς Καρχηδόνος τοσούτους χρόνους ἐνδυναστευούσης τῇ θαλάττῃ, καὶ νεωστὶ Πύρρον ἰδόντες ὑπ' αὐτῶν καταναυμαχημένον, τηλικοῦτον βασιλέα, ταῦτα τοῦ Καρχηδονίου λέγοντος· 'ἡμεῖς' εἶπεν 5 'οὕτως πεφύκαμεν· — ἐρῶ δέ σοι ἔργα ἀναμφισβήτητα, ἵνα ἔχῃς ἀπαγγέλλειν τῇ πόλει — τοῖς πολεμοῦσιν εἰς τὰ ἐκείνων ἔργα συγκαταβαίνομεν κἂν τοῖς ἀλλοτρίοις ἐπιτηδεύμασι περίεσμεν τῶν ἐκ πολλοῦ αὐτὰ ἠσκηκότων. Τυρρηνοὶ γὰρ ἡμῖν ἐπολέμουν χαλκάσπιδες 10 καὶ φαλαγγηδόν, οὐ κατὰ σπείρας μαχόμενοι· καὶ ἡμεῖς μεθοπλισθέντες καὶ τὸν ἐκείνων ὁπλισμὸν μεταλαβόντες παρεταττόμεθα αὐτοῖς· καὶ τοὺς ἐκ πλείστου ἐθάδας τῶν ἐν φάλαγγι ἀγώνων οὕτως ἀγωνιζόμενοι ἐνικῶμεν. οὐκ ἦν ὁ Σαυνιτικὸς ἡμῖν θυρεὸς πάτριος 15 οὐδ' ὑσσοὺς εἴχομεν, ἀλλ' ἀσπίσιν ἐμαχόμεθα καὶ δόρασιν· ἀλλ' οὐδ' ἱππεύειν ἰσχύομεν, τὸ δὲ πᾶν ἢ τὸ πλεῖστον τῆς Ῥωμαϊκῆς δυνάμεως πεζὸν ἦν. ἀλλὰ Σαυνίταις καταστάντες εἰς πόλεμον καὶ τοῖς ἐκείνων θυρεοῖς καὶ ὑσσοῖς ὁπλισθέντες ἱππεύειν τε αὐτοὺς 20 ἀναγκάσαντες, ἀλλοτρίοις ὅπλοις καὶ ζηλώμασιν ἐδουλωσάμεθα τοὺς μέγα ἐφ' ἑαυτοῖς πεφρονηκότας. οὐδὲ πολιορκεῖν, ὦ Καρχηδόνιοι, ἐγινώσκομεν· ἀλλὰ παρὰ τῶν Ἑλλήνων μαθόντες, ἀνδρῶν τοῦ ἔργου πεπειραμένων, κἀκείνων τῶν ἐπιστημόνων καὶ πάντων ἀν- 25 θρώπων ἐν πολιορκίᾳ δεδυνήμεθα πλέον· μὴ δὴ Ῥωμαίους ἀναγκάσαιτε ἅψασθαι τῶν θαλαττίων· εἰ γὰρ ἡμῖν δεήσει ναυτικοῦ, πλείους μὲν καὶ ἀμείνους ὑμῶν

---

3 Πύρρον Arnim, πύρον cod. 10 Τυρρηνοὶ Arnim, τυρηνοὶ cod. 26 δὴ Arnim, δὲ cod. 27 ἀναγκάσαιτε Radermacher, ἀναγκάσετε cod., ἀναγκάζετε Arnim.

p. 122 ἐν ὀλίγῳ χρόνῳ κατασκευασόμεθα ναῦς, | κρεῖττον δὲ ναυμαχήσομεν τῶν ἐκ πλείστου ναυτικῶν'. καὶ οὐκ ἐψεύσατο ὁ Κέσων· βιασθέντες γὰρ ὑπὸ Καρχηδονίων ναυμαχῆσαι, εὐθὺς τῇ πρώτῃ περιεγένοντο ναυμαχίᾳ,
5 Δουϊλλίου στρατηγοῦντος.

Μάνιος δὲ Βαλέριος, ⟨ὁ⟩ τὰς πρὸς Ἱέρωνα συνθήκας ποιησάμενος, δοκεῖ καὶ βραχέως καὶ ἀληθῶς εἰπὼν προτρέψαι τὴν βουλὴν ἔχεσθαι τῶν ναυτικῶν ὅτι 'περὶ νήσου καὶ ἐν νήσῳ μαχομένους οὐκ ἔστι τῷ
10 παντὶ νικᾶν μὴ ναυκρατοῦντας'. καὶ οὐδ' οὗτος ἐψεύσατο· τῷ γὰρ τρίτῳ καὶ εἰκοστῷ τῶν ἐτῶν, ναυμαχίᾳ κρατήσαντες Καρχηδονίων, Σικελίαν τε ἔσχον περὶ ἧς ὁ ἀγὼν καὶ φόρου τοὺς Φοίνικας ἐποιήσαντο ὑποτελεῖς. μαντικὰ ταῦτα ἐκ λογισμοῦ ἔμφρονος, ἐπιμεμαρ-
15 τυρημένα ἔργων ἐκβάσει.

Μὴ ἄρα καὶ τὸ Ῥέμου τοιοῦτον ἦν· ὅτε γὰρ δὴ τὴν Ἀλβανῶν βασιλείαν οἱ περὶ τὸν Ῥωμύλον Νεμέτορι ἀποδόντες τῷ πάππῳ κτίζειν ἔγνωσαν ἰδίαν αὐτῶν πόλιν, περὶ τοῦ τόπου ἐν ᾧ κτιστέον διεφέροντο· καὶ
20 Ῥωμύλου τὸ Παλάτιον προκρίνοντος, ἐν ᾧ καὶ ἐγεννήθησαν καὶ ἐτράφησαν, ὁ Ῥέμος ἕτερον προῃρεῖτο χωρίον, καὶ αὐτὸ παρὰ τὸν Τίβεριν ὄν· καὶ μέχρι τοῦ νῦν ὁ τόπος καλεῖται Ῥεμορία. ἀπαραχωρήτως δ' ἄμφω διὰ φιλοτιμίαν ἔχοντες συντίθενται θεοῖς ἐπιτρέψαι
25 τὸ πρᾶγμα, καὶ ἐν ἡμέρᾳ τινὶ ῥητῇ, ἅμα ἀνίσχοντι ἡλίῳ, ὀρνιθεύεσθαι ἐν τῷ αὐτοῦ χωρίῳ ἑκάτερον· ὁποτέρῳ * *

6 ὁ add. Arnim. 18 αὐτῶν Arnim, αὐτοῦ cod. 26 αὐτοῦ Arnim, αὐτῷ cod.

I. INDEX FONTIVM

p.	186, 21	fr. 155 s. διαλαχεῖν
cf.	186, 21	προδικασία
»	186, 24	διαγράμματα
	186, 25	Διοπείθης
	186, 27	δατηταί
	186, 29	δεκατεύοντες
	187, 3	εὔθυνα
cf.	187, 4	ἔνδειξις
»	187, 6	ἐφήγησις
»	187, 8	εὐθυδικία
»	187, 10	ἐξηγηταί
	187, 12	ἐγγυῆσαι
cf.	187, 14	ἐπιγραφεῖς
	187, 15	Εὐμολπιδῶν
	187, 17	ἐνιαυσία καὶ κατενιαύσιος
	187, 19	ἐν Δελφοῖς σκιά
	187, 20	ἐπίληπτος
cf.	187, 21	ἐκωδωνίζοντο
»	187, 22	εἰσιτήρια
»	187, 24	ἐγγενής
»	187, 25	{ ἐγχώριος / ἐπιχώριος
»	187, 27	ἐπλινθεύθησαν
	187, 29	εἰς ἐμφανῶν κατάστασιν
	187, 31	ἐπακτροκέλης
	187, 32	ἔμβραχυ
	188, 1	ἐκεῖ .. ἐκεῖσε
	188, 3	ἐξεστηκὼς οἶνος
	188, 5	ἐπαιτιώτατοι
	188, 6	ἐτίθευσεν
cf.	188, 7	ἐξούλης δ
	188, 10	Εὐρύβατον
	188, 12	Ἐφιάλτης
	188, 14	ἐπ' ἐκφορᾷ δόρυ
	188, 16	Ἑλληνοταμίας
	188, 18	ἐν χιλίαις
cf.	188, 22	ἐπιστάτης
»	188, 24	ἐκμαρτυρεῖν
»	188, 26	ἐξομόσασθαι
»	188, 28	ἐκκλητευθῆναι
»	188, 30	ἐφέται
»	189, 1	ἐπωβελία

cf.	p. 189, 2	fr. 155 s. ἐνεπισκήψασθαι
»	189, 5	ἐχῖνοι
»	189, 7	ἐπώνυμοι
	189, 9	ἐνηνόμεθα
»	189, 14	ζηλωτοῦ
»	189, 20	ἡλιαία καὶ ἡλιάζεσθαι
	189, 22	ἡγεμονία δικαστηρίου
cf.	189, 24	ἤρετο
»	189, 29	θεωρικόν α
	189, 31	θέτην
cf.	190, 1	θαρραλέον
	190, 3	θρίπηδον
cf.	190, 4	θωπεία
	190, 9	ἰαμβοφάγον
cf.	190, 10	ἱκετεία
	190, 15	κωλακρέται
	190, 16	κιγκλίς
cf.	190, 17	καρποῦ δίκη
	190, 19	κέρκωψ
cf.	190, 20	κάλλιον
	190, 21	Κρώβυλος
cf.	190, 23	κεφάλαιον
»	190, 24	καταλογεύς
»	190, 25	κοβαλεία
	190, 26	κληρωταὶ ἀρχαί
	190, 28	κηδεσταί
cf.	191, 3	λειπομαρτυρίου δίκη
»	191, 5	λῆξις δίκης
»	191, 7	ληξιαρχικὸν γραμματεῖον
	191, 9	λυμαινομένου
cf.	191, 14	μεσεγγύημα
	191, 16	μαρτυρίαν ἐμβάλλεσθαι
	191, 21	νομοφύλακες
	191, 27	ὀργεῶνες
	192, 1	οὐσία
cf.	192, 3	συντελεῖς
	192, 5	ὅρον ἐπιθεῖναι
cf.	192, 7	ὁμοῦ
»	192, 9	ὀκνῶ

II. INDEX EDITIONVM

Burckhardt	Huius syllogae	Burckhardt	Huius syllogae
fr. 1	fr. 99	fr. 20	fr. 144
2	100		p. 125, 17—21
3, 1—4 πα-	101	21, 1—6 δι-	—
ρανόμων		ηγήσεσιν	
3, 4 ἔγραψε—5	—	21, 6 ἐμοὶ — 8	158
4	102	22, 1—2 Δη-	—
5	103	μοσθένους	
cf. p. 27, 6	103 *a*	22, 3 φέρον-	148, 10—11
6	106	ται — 4	
7	107, 5—6	23	149, 23—26
8	108 p. 97, 3—14	24	150
9	110 » 99, 5— 7		p. 129, 5 — 130, 8
9^{b}	110 *a*, 8—12	25	155 s. ἐξούλης
10	117, 22—24	26	155 s. φάσις,
11	125, 19—22		11—16
12^{a}	126	27	155 s. εἰσαγγελία,
12^{b}	126 *a*		13—16
	p. 108, 11—17	28	155 s. θεωρικόν
13^{a}	127 *a*	29	71
13^{b}	127	30	72
14, 1—8 δω-	130 p. 113, 5—12	31	73
ρεᾶς		32	74
14, 8 εἶπε — 11	—	33	75
15	132	34	76
16	135 p. 120, 1	35, 1—2 *uocat*	69, 15—16
17^{a}	136 p. 120, 4—9	35, 2 *qua-*	—
cf. p. 34, 21	136 » 120, 9 ss	*lis* — 7	
» » »	137	36	67
17^{b}	*cf.* 136 p. 120 adn.	*cf.* p. 41, 34	67 *a*, 16—20
18	139, 1—15	» » »	76 *a*
19	141	37^{a}	61 p. 42, 17 — 43, 3
	p. 123, 9 — 124, 1	37^{b}	61 *a*

Burckhardt	Huius syllogae	Burckhardt	Huius syllogae
fr. 38ᵃ	fr. 65, 12—14	fr. 46	fr. 95 p. 83, 4—10
38ᵇ	65 *a*	47	95 p. 84, 7—13
39	64	48	*cf.* p. 3, 18
40	66, 1—4	49	6, 3—5
41	50, 1—12	50	31
42	50 *a* p. 34, 11—26	51	2
43	82	52, 1—4 ἐπι-σκεψόμεθα	—
44	87		
45	85 p. 66, 19—26	52, 4 τὸ — 10	153

III. INDEX AVCTORVM

IV. INDEX VERBORVM RHETORICORVM

CORRIGENDA

p. 5, fr. 4 adn., lin. 5 *lege:* SINKO l. c. p. 534
6, 13 *scribe:* (rhet. III 15 p. 1416ᵃ 28 ss)
33, 13 *scribe* Ἀθήναιος
41, 23 *lege* συμβουλεύειν
41, fr. 59*b* adn., l. 6 *lege:* SINKO l. s. p. 534
46 app. crit. u. 15 *lege:* (Soph. El. 301)
57, 22 *lege:* (Orest. 720—721)
58, 1 *uerba* ἄφιλος . . . κακῶς *in dexteram partem aliquantum remoue*
72, 17 *scribe:* (Soph. fr. p. 245 s N.²)
95, fr. 107 adn., l. 6 *dele interpunctionem post* p. 318
186, 17 *scribe:* (fr. 180
193, 15 *lege:* p. 193, 179 Westerm.
195, 13 *lege:* p. 199, 345 Westerm.

ADDENDA

p. XV, lin. 5 ab imo. Nuperrime A. Brinkmann *Rhein. Mus.* LXI 1906 p. 117 sq., ut H. Rabe, uir humanissimus, me optime admonet, Phoebammonem in quinto siue melius in sexto saeculo ita certe posuit, ut extra dubitationem res sit

25, fr. 41 adn., l. 2 *ante* Quintilianum *adde:* item fr. 166 p. 204, 31 — 205, 5 legitur.

27, fr. 45 adn. Caecilium fontem esse etiam Otto l. s. p. 20 s, 2 putat

38, 12 *post* πάλιν *adde:* (ibid. 29)

38, 13 *post* πάλιν *adde:* (ibid. 31)

38, 17 *post* πάλιν *adde:* (cf. Dem. XXI 109)

40, 17 *post* ἐρωτᾷ *adde:* (Dem. XXIII 146)

42, fr. 60 adn., l. 1 *post* 78, 4 ss *adde:* et fr. 165 p. 202, 19 s

48, fr. 66 *a* adn., l. 5 *ante* contenderunt *adde:* Otto l. s. p. 18, 2

49, fr. 67. Otto l. s. p. 24, 2 etiam hunc Quintiliani locum ad Caecilium reducere uult: Qvintil VIII 2, 14: *plus tamen est obscuritatis in contextu et continuatione sermonis et plures modi. quare nec sit tam longus, ut eum prosequi non possit intentio, nec traiectione* ⟨*ultra*⟩ *modum hyperbati* (traiectio modum [domum G] hyperbato AG, *em. Zumpt*) *finis eius differatur.*

53, fr. 70 adn., l. 5 *ante* obseruauerunt *adde:* Otto l. s. p. 23, 1

56, fr. 73 adn. *adde:* et fr. 157 p. 195, 16 s

58, 7. *subiunge apparatum crit.:* θοινάματα Boissonade, θυνάματα cod.

70, fr. 88 adn., l. 2 ab imo *ante* statuerunt *adde:* Otto l. s. p. 47, 1

71, fr. 89 adn., l. 1 *ante* fr. 164 *adde:* fr. 140, 2 s,

73, adn., l. 2 *adde:* 13—14 cf. fr. 165 p. 202, 19 s.

77, adn. *adde:* et fr. 157 p. 195, 16 s

101, 13 *post* 23 *adde:* = p. 205, 41 Westerm.

122, 26 *post* Δημοσθένης *adde:* (IX 72)

175, 29 *post* Φιλιππικῶν *adde:* (IV 34)